Ἐτρούσκων καὶ Σουτρίνων ἄλλην, πάσας τε αὐτὰς ὑφ' ἑαυτὸν ποιησάμενος καὶ τοὺς πολεμίους διαχρησάμενος, τρεῖς ἐπὶ τοῖς τρισὶν ἔθνεσιν ἐπετέλεσε θριάμβους.

2. Καὶ Τίτος δὲ Κυίντιος Κιγκιννάτος Πραινεστίνους, οἳ μέχρι τῶν προπυλαίων αὐτῶν πολεμοῦντες ἐχώρησαν, ἄχρις Ἀλλίου ποταμοῦ διώξας, νίκην τε ἤρατο κατ' αὐτῶν καὶ πόλεις αὐτῶν ἑπτὰ τῇ Ῥώμῃ προξένειμε, καὶ αὐτοὺς δὲ τοὺς Πραινεστίνους, παραδόντας ἑαυτούς, ἐκτήσατο· πᾶν δὲ τοῦτο τὸ ἔργον εἴκοσιν ἐπετέλεσε ταῖς πάσαις ἡμέραις, καὶ ἐπὶ τούτοις ἐθριάμβευσεν.

3. Ἀλλ' οὐκ ἐπὶ πολὺ τῶν στρατιωτικῶν ἀρχόντων ἡ δυναστεία· μικρῷ γὰρ ὕστερον κατελύθη, καὶ σχεδὸν ἔξω πάσης ἀρχῆς ἡ Ῥώμη διετέλεσεν, εἰ καὶ τῶν στρατιωτικῶν ἀρχόντων τινὲς καὶ μετὰ τὴν κατάλυσιν τῆς ἀρχῆς ἐβιάζοντο δύνασθαι καὶ τὸ κῦρος ἔχειν. Ἀλλ' οὐχ ὑπὲρ τρεῖς ἐνιαυτοὺς τοῦτο ἐδυνήθησαν· ἐπανῆλθε γὰρ πρὸς τοὺς ὑπάτους ἡ ἐξουσία.

4. Λουκίου τοίνυν Γενουκίου καὶ Κυιντίου Σερβιλίου γενομένων ὑπάτων, τελευτᾷ Κάμιλλος, τιμαί τε αὐτῷ δεύτεραι μετὰ τὸν Ῥωμύλον ἐψηφίσθησαν.

5. Γάλλων δὲ πόλεμον ἐπὶ τὴν Ἰταλίαν κινησάντων, στρατοπεδευσαμένων δὲ ἀντιπέραν τοῦ Ἀνιήνου ποταμοῦ, Τίτος Κυίντιος δικτάτωρ ἀναδειχθεὶς ἐξῆλθεν ἐπὶ τοὺς πολεμίους. Ἀλλ' ἔλυσε τὴν μάχην οὐχ ἡ συμπλοκὴ τῶν στρατευμάτων, ἀλλ' ἀνὴρ νεανίας Μανίλιος. Ὑφ' ἑνὸς γὰρ τῶν Γάλλων εἰς μονομαχίαν προκληθεὶς ἐκεῖνόν τε καθεῖλε καὶ τῷ πολέμῳ τέλος ἔδωκε, τὸν στρεπτόν τε, ᾧ

1. *ἑαυτὸν* ΑΙΔ : *ἑαυτὸν* ἐκ τοῦ *ἑαυτῶν* Μ   4. *Κυίντιος* ἔγραψα (Ἴδε ἀνωτέρω σ. 17,16) : *κύντιος* Π   *Κιγκιννάτος* ἔγραψα : *κικιννάτος* ΑΙΔ : *κικιν<sup>ν</sup><sub>λ</sub>άτος* Μ   *Πραινεστίνους* Δ : *πρενεστίνους* Π   5. *προπυλαίων* ΜΙΔ : *προπυλάκων* Α   6. *ἤρατο* Ι : *ἤρατο* ΣΔ : *ἤξατο* ΑΜ   7. *Πραινεστίνους* Δ : *Πραινεστηνοὺς* Σ *πρενεστηνοὺς* ΑΜΙ   8. *ἐπετέλεσε* Π : *ἐπετέλεσεν* Α   10. *ἐπὶ πολὺ* Π : *ἐπιπολὺ* Α   *τῶν* ΑΜΙ : *διεγένετο* Σ : *περὶ τῶν* Δ : λείπει Σ   12. Ἐν τῇ ᾤᾳ· *περὶ τῆς τῶν ὑπάτων αὖθις ἀρχῆς ἀναλήψεως* Σ : *περὶ τῆς τῶν ὑπατικῶν αὖθις ἀρχῶν ἀναλήψεως* Μ   16. *Γενουκίου* Π : *γενκίου* Μ   *Κυιντίου* ἔγραψα (Πρβλ. ἀνωτέρω σ. 17, 16 καὶ 19,4) : *κέντου* Π : *κίντου* Μ   17-18. *Ῥωμύλον* ΣΔ : *ῥωμύλον* ΑΙΜ   19. *Γάλλων* Δ : *γάλλων* ἄνωθεν δ' αὐτοῦ *γαλατῶν* νεωτέρα χειρὶ ἐν τῷ Μ, ἐρυθρὸν ἐν τῷ Α   20. *ἀντιπέραν* ἔγραψα : *ἀντιπέρα* Π : *ἀντιπέρα* ἐκ τοῦ *ἀντίπερα* Μ   *Τίτος* ΙΔ : *τίτος* ΑΜΣ   *Κυίντιος* ἔγραψα : *Κίντιος* Π

22-23. *Μανίλιος* Σ : *μανήλιος* ΑΜΙ : *Μάνλιος* ὀρθῶς Δ   23-24. *ἐκεῖνόν τε* Δ : *ἐκεῖνον τε* Π   24. *καθεῖλε* ΙΣΔ : *καθεῖλεν* ΑΜ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΦΙΛΟΣΟΦΙΑΣ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΕΡΓ. Δ. ΤΗΣ Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

κεκόσμητο τὸν τράχηλον ὁ Γάλλος, ἑαυτῷ περιθείς, ἐκ τούτου Τορκουάτος αὐτός τε προσηγορεύθη καὶ οἱ ἐξ αὐτοῦ πάντες, μηνύοντες τῇ προσηγορίᾳ τὸν ἀπὸ τοῦ λαφύρου κόσμον· τόρκυς γὰρ ἐπιχωρίως ὁ στρεπτὸς καλεῖται. Τότε μὲν οὖν φυγῇ παρέδοσαν ἑαυτούς· μετὰ δε ταῦτα καὶ κατεπολεμήθησαν ὑπὸ τοῦ δικτάτωρος Σουλπικίου. Καὶ Τοῦσκοι δὲ ὑπὸ Γαΐου Μαρκίου συνεκόπησαν. Ὡς ὀκτὼ δὲ χιλιάδας αἰχμαλώτων τῷ θριάμβῳ ποιήσας πλῆθος ὁ νικήσας ἐθριάμβευσε.

6. Μετὰ τοῦτο γίνεται τῶν Ῥωμαίων ἀπογραφή, καὶ τῶν Λατίνων τῶν ὑπὸ Ῥωμαίοις ἤδη γεγενημένων σώματα παρέχειν εἰς στρατιὰν οὐ βουλομένων, ἐξ αὐτῶν τῶν Ῥωμαίων πολιτῶν * συλλεγῆναι τὸ στράτευμα. Δέκα δὲ ἐξ αὐτῶν συντάξεις ἐγένοντο, λεγεῶνες κατὰ τὴν αὐτῶν καλούμεναι φωνήν, ἐκ τῆς γενομένης τῶν νέων ἐπιλογῆς· λέγερε γὰρ παρ᾽ αὐτοῖς τὸ ἐπιλέξασθαι λέγεται. Αἱ δέκα δὲ αὗται λεγεῶνες ἑξήκοντα χιλιάδας ἀνδρῶν εἶχον, ὡς ἑκάστην εἰς ἑξακισχιλίους τελεῖν. Καὶ οὕτως ὁ τοσοῦτος συνήχθη στρατός, οὔπω τῶν ῥωμαϊκῶν πραγμάτων εἰς τὸ πᾶν ἐπιδεδωκότων. Τοσαύτη τῶν στρατιωτικῶν ἦν ἐπιθυμία καὶ τῶν πολιτῶν ἀνδρεία. Τοῦτο δὴ τὸ στράτευμα τῶν πολιτῶν ἐξάραν ἐπὶ τοὺς Γάλλους ἐχώρησεν, ἡγουμένου τῆς στρατιᾶς Φουρίου. Ἀλλά τις ἐκ τοῦ Γάλλων στρατεύματος, πρὶν ἢ συμμῖξαι τὰ πλήθη, ἐκ προκλήσεως τὸν ἄριστον τῶν Ῥωμαίων εἰς μονομαχίαν ἐκάλει. Τότε τοίνυν ἐθελοντὴς ἐξανέστη Μάρκος Οὐαλέριος ἐν τοῖς ἄρχουσι τῶν στρατιωτῶν τεταγμένος, καὶ σκευασάμενος ἐπῆλθεν. Ὁρμῶντι δὲ αὐτῷ κατὰ τοῦ πολεμίου κόραξ ἐπιστὰς κατὰ τὸν δεξιὸν ἔστη βραχίονα. Καὶ μετὰ τοῦτο οἱ μὲν ἄνδρες συνέμιξαν· ὁ δὲ κόραξ τοῖς τε ὄνυξι καὶ τοῖς πτεροῖς ἔπαιε τοῦ Γάλλου τὰ ὄμματα, κωλύων εὐθὺ τῷ πολεμοῦντι προσβλέπειν. Καὶ οὕτω πίπτει μὲν ὁ Γάλλος, τῷ Οὐαλερίῳ δὲ ὁ τῆς νίκης τρόπος δέδωκε τὴν προσηγορίαν. Κορβῖνος

5. *δικτάτωρος* ΑΣΔ : *δικτάτορος* ΙΜ 6. *Τοῦσκοι* Π : *τούσκοι* Μ *χιλιάδας* Π : *χιλιάδας* ἐκ τοῦ *χιλιάδες* Μ 8. *γίνεται* ΛΜΣ : *γίγνεται* ΙΔ

9. *τῶν* ΛΜΣ : λείπει ΙΔ 10. *ῥωμαίων* διαγεγραμμένον εἰς ὃ ἕπεται *λατίνων* Μ : λείπει Π *πολιτῶν* ἔγραψα : *πολιτικῶν* Π *συλλεγῆναι* Π : *συνελέγη* Δ

11. *δέκα δὲ* Δ : *δὲ δεκάδες* Π 13. Ἐν τῇ ᾤᾳ· *λεγεὼν πλῆθος στρατιωτικῶν ἀνδρῶν* ͵ς *ἀπὸ τοῦ λέγω τὸ ἐκλέγομαι ἤγουν ἐκλεκτῶν ἀνδρῶν* ΛΜ 14. *ἀνδρῶν* Π : *ἀνδ^ρ^ῶν* Λ *ἑξακισχιλίους* Π : *ἑξάκις χιλίους* Μ 17. *ἀνδρεία* ΛΜΣ : *ἀνδρία* ΙΔ 18. *ἐξάραν* Π : *ἐξῆραν* Σ 19. *Φουρίου* Δ : *φρουρίου* Π *συμμῖξαι* ἔγραψα : *συμμίξαι* Π 22. *στρατιωτῶν* Π : *στρατιωτικῶν* Δ 26-27. *Οὐαλερίῳ* ΙΣΔ : *οὐα^λ^λερίῳ* ΛΜ 27. *προσηγορίαν* Π : *προσηγορίαν* ἐκ τοῦ *προσηγόριαν* Μ

γὰρ ὠνομάσθη, τοῦ κόρακος οὕτω κατὰ τὴν τῶν Ἰταλῶν ὀνομαζομένου φωνήν. Καὶ οὐδὲ μέχρι τούτων τὰ τῆς εὐημερίας ἔστη· ἀλλὰ τρίτον καὶ εἰκοστὸν γεγονὼς ἔτος ἐπὶ τὴν ὑπατείαν ἐκλήθη.

7. Λατῖνοι δὲ οἱ τὴν στρατολογίαν ἀρνησάμενοι καθάπερ ἔκ τινος μελέτης ἐπὶ μεῖζον ἐχώρησαν. Ἔφασκον γὰρ τὸν ἕτερον τῶν ὑπάτων ἐκ σφῶν αὐτῶν χρῆναι χειροτονεῖσθαι. Τῶν Ῥωμαίων δὲ οὐ συνθεμένων, ἀνήφθη πόλεμος μέγιστος εἴπερ τις ἄλλος· καὶ τοῦτον μὲν ἡττήθησαν οἱ Λατῖνοι, καὶ θρίαμβον ἔσχεν ἡ νίκη. Τοῖς ὑπάτοις δὲ ὡς ὑπὲρ ἔργου μεγάλου κατά τι χωρίον, ὃ Ῥῶστρα καλοῦσιν, ἀνδριάντας ἀνέστησαν. Τοῦτο δὲ τὸ χωρίον τὰς πρὸς τὸν δῆμον ἐδέχετο τῶν ὑπάτων τε καὶ τῶν λοιπῶν ἀρχόντων δημηγορίας· ἐκεῖθεν γὰρ ἐν ταῖς καταλαμβανούσαις χρείαις διελέγοντο τῷ δήμῳ. Κατὰ δὲ τὸν αὐτὸν ἐνιαυτὸν Ἀλεξάνδρεια παρὰ τοῦ Μακεδόνος Ἀλεξάνδρου συνῳκίσθη, καὶ ταύτην ἐδέξατο τὴν προσηγορίαν ἡ τῆς Αἰγύπτου πάσης μήτηρ.

8. Ἐντεῦθεν δὴ καὶ τὰ τῆς δυνάμεως ηὐξήθη Ῥωμαίοις καὶ πρὸς ἄκρον ἀφίκοντο δυναστείας. Ἀμέλει πορρωτάτω λοιπὸν αὐτοῖς οἱ πόλεμοι συνεκροτοῦντο. Ἐπὶ Σαμνίτας γοῦν, τριακοσίοις ἀπῳκισμένους σημείοις, τὴν στρατιὰν ἐκίνησαν, ἧς ἀφηγεῖτο Παπίριος Κούρσωρ, τὴν τῆς δικτατωρίας ἔχων ἐξουσίαν. Χρείας δὲ αὐτὸν ἐπὶ τὴν Ῥώμην καλούσης, τὸν ἄρχοντα τῆς ἵππου Φάβιον Μάξιμον· ἠκολούθει δὲ αὐτῇ, καθάπερ ἐν τοῖς ἔμπροσθεν εἰρήκαμεν, ἡ δυναστεία τῷ δικτάτωρι· κατέλιπεν ἐπιτροπεύειν τοῦ στρατοῦ, προαγορεύσας μὴ συμμῖξαι μήτε εἰς χεῖρας ἐλθεῖν, πρὶν ἂν ἐκ τῆς Ῥώμης ἐπανήκῃ. Λαβόμενος δὲ ὁ Φάβιος καιροῦ καὶ μικρὰ φροντίσας τῶν τοῦ δικτάτωρος ἐντολῶν, ἐμαχέσατο μὲν μετὰ λαμπρᾶς τῆς τύχης, καὶ τοὺς Σαμνίτας ἀπώλεσε πανστρατιᾷ· ἐπὶ τούτοις ψῆφον ἐπήγαγεν ὁ δικτάτωρ αὐτῷ θανάτου·

1. τοῦ ΑΜΙ : *[ἀπὸ]* τοῦ ΙΣ : *ἀπὸ τοῦ* Δ  3. *ἐκλήθη* ΑΙΔ : *ἐλήθη* Μ : *ἠλήθη* Σ  5. *ἐπὶ μεῖζον* ΙΣΔ : *ἐπιμεῖζον* ΑΜ  7. *εἴπερ* ΙΔ : *εἰπέρ* ΑΜΣ
9. *ῥῶστρα* ΙΔ : *ῥώστρα* ΑΜ : *Ῥώστρα* Σ  9-10. *ἀνδριάντας* ἔγραψα : *ἀνδριάντες* Π  10-11. *τῶν ὑπάτων τὲ καὶ* Π : λείπουσι Δ  12. *διελέγοντο* Π : *διαλέγοντο* Δ  14. Ἐν τῇ φφ' C⁹ (μέλαν) καὶ χωριστὰ *περὶ ἀλεξανδρείας* (ἐρυθρᾷ) Α : C⁹ *περὶ ἀλεξανδρεία;* Μ  20. *δικτατωρίας* Δ : *δικτατορίας* Π  *ἔχων ἐξουσίαν* Π : *ἐξουσίαν ἔχων* Ι  21. *ἠκολούθει* Π : *ἠκολούθη* Δ  22. *ἡ* ΑΜ : λείπει ΙΣΔ
*δικτάτωρι* Π : *δικτάτορι* Μ  23. *συμμῖξαι* ἔγραψα : *συμμίξαι* Π  25. *δικτάτωρος* ΙΔ : *δικτάτορος* ΑΜΣ  26. *ἐμαχέσατο* ἔγραψα : *ἐμαχήσατο* Π
27. *ἐπὶ* Π : *ἀλλ' ἐπὶ* Δ  *αὐτῷ* ΙΣΔ : *αὐτοῦ* ΑΜ

διεσώθη, δὲ τῇ τε τοῦ στρατεύματος περὶ αὐτὸν σχέσει καὶ τῇ τοῦ δήμου σπουδῇ, τοσαύτη τε ἐκινήθη κατὰ τοῦ Παπιρίου στάσις, ὡς παρὰ μικρὸν ἐλθεῖν αὐτὸν θανάτου.

9. Μετὰ ταῦτα οἱ Σαμνῖται τοὺς Ῥωμαίους, ὑπατευόντων Τίτου Βετουρίου καὶ Σπουρίου Ποστουμίου, μετὰ πολλῆς κατεπολέμησαν τῆς αἰσχύνης, καὶ κύριοι καταστάντες αὐτῶν, ἔθεντο σπονδὰς τοῖς ἡττημένοις ἀπρεπεῖς. Ἀλλ' ἡ σύγκλητος καὶ ὁ δῆμος τὰς μὲν σπονδὰς παρεσάλευσαν ὡς ἐν δυσπραγίᾳ γεγενημένας, ἀνέλαβον δὲ τὴν μάχην, καὶ οἱ πρότερον νενικηκότες ἡττήθησαν, Παπιρίου τοῦ ὑπάτου τῇ μάχῃ στρατηγοῦντος. Πεσόντων δὲ τῶν πλειόνων, ἑπτὰ χιλιάδες ἀνδρῶν αἰχμαλώτων ὑπὸ τοῖς νενικηκόσιν ἐγένοντο, καὶ πρῶτος οὗτος κατὰ Σαμνιτῶν ἐδόθη τῷ Παπιρίῳ θρίαμβος. Κατὰ δὲ τὸν αὐτὸν τοῦτον χρόνον Ἄππιος Κλαύδιος κήνσωρ αἱρεῖται, ἤγουν τιμητής· ἀρχὴ δὲ ἦν αὕτη τῶν μεγίστων, καὶ ἦν ἔργον αὐτῇ τοὺς τῶν πολιτῶν διερευνᾶσθαί τε καὶ κρίνειν βίους, τιμωρίας τε κατὰ πάσης ἠδύνατο δυναστείας, καὶ οὐδεὶς ἦν ἔξω τῆς τοῦ κήνσωρος ἐξουσίας. Κύριοι δὲ ἦσαν οἱ κήνσωρες καὶ ἔργοις καινοῖς κατακοσμεῖν τὴν πόλιν. Ὁ Κλαύδιος γοῦν πηγὴν ὠχέτευσεν εἰς τὴν Ῥώμην, ἥτις αὐτῷ μέχρι νῦν ἐπονομάζεται Κλαυδία, ὁδόν τε ἐστόρεσεν, ἥτις ἐπεκλήθη καὶ αὐτὴ τῷ πεποιηκότι, Ἀππία προσαγορευθεῖσα. Οὕτως ἡ μέντοι ἐπώνυμον ἔσχε τοῦ πεποιηκότος, ἡ δὲ αὐτὸ τοὔνομα. Τούτων ὧδε πεπραγμένων, Σαμνῖται τὴν μάχην ἀνενεώσαντο, Κύντου Φαβίου Μαξίμου τὴν ὑπατείαν ἔχοντος· παῖς δὲ ἦν οὗτος τοῦ μικροῦ πρόσθεν εἰρημένου Φαβίου Μαξίμου. Οὗτος ἡττᾶται τὴν μάχην καὶ τρισχιλίους ἀποβάλλει τῶν μαχιμωτάτων. Ληγάτος δὲ αὐτῷ χειροτονηθεὶς ὁ πατὴρ Φάβιος ἐνίκησέ τε τοὺς Σαμνίτας καὶ πολλὰς αὐτῶν πόλεις εἰ-

1-2. *δὲ τῇ—ἐκινήθη* ἐν τῷ κειμένῳ Π : ἐν τῇ ῴᾳ διὰ παραπεμπτικοῦ σημείου ⸸ Λ 2. *Παπιρίου* Π : *παπίρου* ἐκ τοῦ *παπυρίου* Μ 3. *παρὰ μικρὸν* Π: *παραμικρὸν* Μ *ἐλθεῖν αὐτὸν* Π : *αὐτὸν ἐλθεῖν* Ι 4. *οἱ* Π : *δὲ οἱ* Δ *σαμνῖται* Π : *Σαμνῖται* Σ *Τίτου* ΙΣΔ : *τίτου* ἐκ τοῦ *τίττου* Λ : *τίττου* Μ

6. *αἰσχύνης* Π : *αἰχύνης* Δ 8. *παρεσάλευσαν* Π : *παρασάλευσαν* Μ

12. *αὐτὸν* ΜΙΣ : λείπει ΛΔ 13. *Ἄππιος* Π : *ἄπιος* Ι *ἤγουν τιμητὴς* ἐν τῷ κειμένῳ Π : πρόσθετον ὑστέρᾳ χειρὶ ἐν τῇ ἄκρᾳ τοῦ στίχου κατὰ τὴν ῴαν Δ

15. *διερευνᾶσθαί τε* Δ : *διερευνᾶσθαι τὲ* Π *πάσης* ΛΔ : *πάσης τὲ* ΜΙ

16. *κήνσωρος* Δ : *κήνσορος* Π 17. *κήνσωρες* Δ : *κήνσορες* Π *καινοῖς* ΣΔ : *κενοῖς* ΑΜΙ 20-21. *ἐπώνυμον* ΙΔ : *ἐπωνύμως* ΑΜΣ 21. *αὐτὸ* ΙΣΔ : *αὐτὸ* ΛΜ 22. Ἐν τῇ ῴᾳ· *περὶ σαμνιτῶν* ΛΜ 23. *μικροῦ* Π. Γραπτέον *μικρόν* ; 24. *καὶ* Π : [*καὶ*] Σ 25. *ληγάτος* Δ : *λήγατος* ΙΣ : *λήγατος* ΛΜ

26. *ἐνίκησέ τε* ΙΔ : *ἐνίκησε τὲ* ΑΜΣ

ΙΩΑΝΝΙΝΑ 2006

λεν. Ἔπειτα διαδέχονται τὴν ὕπατον ἀρχὴν Πούβλιος Κορνήλιος Ῥουφῖνος καὶ Μάρκος Κούριος Δεντάτος· καὶ συνάψαντες πρὸς τοὺς Σαμνίτας πόλεμον πολλαῖς τε μάχαις λαμπροὶ ὑπερέσχον καὶ παντάπασιν αὐτοὺς ἐκπολιορκήσαντες δι' ἐτῶν ἐννέα καὶ τεσσαράκοντα τέλος ἔδοσαν τῷ πολέμῳ. Ὡς ἔπος δὲ εἰπεῖν, οὐδὲν τῶν ἐντὸς τῆς Ἰταλίας ἐθνῶν οὕτω τὰς ῥωμαϊκὰς δυνάμεις κατειργάσατο.

10. Πολλοῖς τε ὕστερον ἐνιαυτοῖς πλῆθος Γάλλων ἀξιομάχητον Τούσκοις τε καὶ Σαμνίταις κατὰ τῆς Ῥώμης ἐκοινώνησαν, καὶ τὸν δρόμον ἐπ' αὐτὴν ποιούμενοι παρὰ Γνέου Κορνηλίου Δολοβέλλου τοῦ ὑπάτου πανωλεθρίᾳ διεφθάρησαν.

11. Ὑπὸ τούτους τοὺς χρόνους Ταραντίνοις, ἐν ὑστάτῳ τῆς Ἰταλίας πάσης κειμένοις, ἐπήχθη παρὰ Ῥωμαίων πόλεμος. Αἰτία δὲ ἦν τοῦ πολέμου παροινία καὶ ἀσέλγεια παρὰ τοῦ δήμου τοῦ Ταραντίνου κατὰ τῶν πρεσβευτῶν ἐκ τῆς Ῥώμης τετολμημένη. Ἀκμαζόντων δὲ τῶν κατὰ τὴν μάχην, Πύρρον ἐπεκαλέσαντο σύμμαχον Ταραντῖνοι, γένος μὲν τῶν ἀπ' Ἀχιλλέως, βασιλεύοντα δὲ τῶν Ἠπείρων. Καταλαμβάνει τοίνυν τὴν Ἰταλίαν ὁ Πύρρος, καὶ τοῦτον πρῶτον πόλεμον ἐπολέμησαν Ῥωμαῖοι πρὸς στρατιὰν ἐξ ὑπερορίων ἥκουσαν. Ἐπὶ τούτων ὕπατος ἐχειροτονήθη Πούβλιος Οὐαλέριος Λεουιανός. Οὗτος, τοῦ Πύρρου κατασκόπους ἑλών, προσέταξεν ἅπαν αὐτοῦ ἐπιδειχθῆναι τὸ στρατόπεδον, εἶτα ἀφεθῆναι καὶ τῷ Πύρρῳ γενέσθαι μηνυτὰς ὧν ἐθεάσαντο. Μετὰ ταῦτα γίνεται μάχη, καὶ, τραπέντος τοῦ Πύρρου, μεταβολὴν ἔσχε διὰ τοὺς ἐλέφαντας ἡ τοῦ πολέμου τύχη. Ἀγνῶτες γὰρ ὄντες τούτων οἱ Ῥωμαῖοι τῶν θηρίων καὶ τῶν ἵππων πρὸς τὴν ἀθρόαν ὄψιν ἐκπλαγέντων, φοβηθέντες ἔσχον ἔλαττον. Κακῶς δὴ τῶν ῥωμαϊκῶν ἐκ τούτου διακειμένων, ἡ νὺξ ἔδωκε τῇ συμπλοκῇ τέλος· ᾗ χρησάμενος ὁ Λεουιανὸς ὑπεχώρησε. Κατὰ δὴ ταύτην τὴν μάχην χιλίους ὀκτακοσίους ὁ Πύρρος αἰχμαλώτους εἷλε καὶ τῶν μεγίστων αὐτοὺς ἠξίωσε τιμῶν· τοὺς δὲ πεσόντας ἐξ αὐτῶν τῶν Ῥωμαίων

2. *Ῥουφῖνος* Π : *ῥουφίνος* Μ 6. *οὕτω* Δ : *τούτω* Π 7. *τε* ΑΙ : *τὲ* ΜΣ : *δὲ* Δ 9. *Γνέου* Π. Γραπτέον *Γναίου* 11. Ἐν τῇ ῷᾳ· *περὶ τοῦ πύρρου τοῦ ἠπειρώτου* ΑΜ 13. *ἀσέλγεια* Π : *ἀσελγεια* Α 15. *Ταραντῖνοι* Π : *ταραντῖνοι* ἐκ τοῦ *ταραντίνοι* Μ 16. *Ἠπείρων* Π. Γραπτέον *Ἠπειρωτῶν*; 17. *Ἰταλίαν* ΜΙΔ : *βασιλείαν* ΑΣ 18. *ἥκουσαν* Π : *ἥκουσαν* ἐκ τοῦ *ἤκουσαν* Α
19. *τούτων* Π : *τούτῳ* Δ 19. *Λεουϊανὸς* ΑΜΙ : *Λευῖνος* ΙΔ 20. *τοῦ* Π : λείπει Δ *αὐτοῦ* Π : *αὐτοῖς* Δ 23. *ἔσχε* ΙΔ : *ἔσχεν* ΑΜΣ 27. *Λεουϊανὸς* ἔγραψα (Πρβλ. *ἀνωτέρω* στ. 19) : *λεουΐνιος* ΑΜΙ : *Λευῖνος* ΔΣ *ὑπεχώρησε* ΙΔ : *ὑπεχώρησεν* ΑΜΣ 28. *εἷλε* ΙΔ : *εἷλεν* ΑΜΣ

ΕΡΓΑΣΤΗΡΙΟ ΙΣΤΟΡΙΑΣ ΤΗΣ ΦΙΛΟΣΟΦΙΑΣ — ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ — Ε. Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ταφῇ παραδέδωκεν. Ἰδὼν δὲ αὐτοὺς καὶ ἐν νεκροῖς τοῖς σώμασιν φοβεροὺς πάντων τε τὰς πληγὰς ἔμπροσθίους, τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἀνασχὼν, ἔφη πάσης ἂν κρατῆσαι τῆς γῆς, εἰ τοιούτοις αὐτῷ χρῆσθαι στρατιώταις ἐξεγένετο.

12. Μετὰ ταῦτα συνάπτουσιν ἑαυτοὺς τῷ Πύρρῳ Σαμνῖται καὶ Λουκανοὶ καὶ Βρούττιοι· καὶ γίνεται δρόμος ἁπάντων ἐπὶ τὴν Ῥώμην πᾶν τε τὸ προςτυχὸν ἢ πυρὸς ἦν ἔργον ἢ σιδήρου. Καὶ τὴν μὲν Καμπανίαν ἐξεπολιόρκησαν, ἧκον δὲ ἐπὶ τὴν Πραίνεστον, τῆς πόλεως ὀκτωκαιδεκάτῳ σημείῳ ἀφεστῶσαν. Φοβηθεὶς δὲ ὁ Πύρρος τὸν ὕπατον καὶ τὴν σὺν αὐτῷ στρατιὰν, ὄπισθεν αὐτῷ κατακολουθήσασαν, εἰς τὴν Καμπανίαν ὑπεχώρησε. Καὶ παραγίνονται πρὸς αὐτὸν πρέσβεις Ῥωμαίων, ἐξωνήσασθαι βουλόμενοι τοὺς αἰχμαλώτους. Τούτους διὰ πάσης αἰδοῦς καὶ τιμῆς ἐποιήσατο, εἶδέ τε ὡς ἔνι μάλιστα φιλοφρόνως· τὰ λύτρα τε ἀπωσάμενος, προῖκα τοὺς αἰχμαλώτους ἀπέπεμψεν. Ἕνα δὲ ἐκ τῶν πρέσβεων Φαβρίκιον οὕτως ἠγάσθη καὶ ἐθαύμασεν, ὥςτε, ἐπειδὴ πενίᾳ συζῆν αὐτὸν ἔγνω, τοὺς θησαυροὺς ἐπιδείξας, τὸ τέταρτον αὐτῷ προῦθηκεν αὐτῶν τε καὶ τῆς ἀρχῆς, εἰ τὴν πρὸς αὐτὸν ἕλοιτο συνουσίαν καὶ μετὰ τῶν πολιτῶν αὐτὸν προςθείη. Καταφρονηθείσης δὲ τῆς ὑποσχέσεως, ηὐξήθη τῷ Πύρρῳ τὸ περὶ τὴν Ῥώμην τε καὶ τοὺς ἐξ αὐτῆς θαῦμα, καὶ πρέσβεις ὁ νενικηκὼς πέμπει παρὰ τῶν ἡττημένων σπονδὰς ἐπαγγέλλειν ἴσας ἑκατέροις. Τῆς δὲ πρεσβείας ἐξῆρχεν ἀνὴρ ἐπιφανὴς Κινέας. Τῶν σπονδῶν δὲ μέρος ἦν καὶ τόδε, τῆς Ἰταλίας ὅσον ἤδη ἐδέδεκτο τὸν Πύρρον, ἢ πολιορκηθὲν ἢ ἑκούσιον, τῆς αὐτοῦ δεσποτείας εἶναι.

13. Ταύτην οὐκ ἐδέξαντο τὴν συνθήκην οἱ Ῥωμαῖοι· ἀπεκρίναντο δὲ τοῖς πρέσβεσι σπονδὰς οὐδαμῶς ἔσεσθαι Πύρρῳ τε καὶ αὐτοῖς, εἰ μὴ πάσης τῆς Ἰταλίας ἐκχωρήσειε μέγα τε μηδὲν ἡγεῖσθαι σφᾶς παρεσχηκέναι Πύρρον τὸ κατὰ τοὺς αἰχμαλώτους. Τοῦτο δὲ εἶναι σημεῖον, τὸ τοὺς ἀφεθέντας ἀτίμους εἶναι παρ' αὐτοῖς ὡς ἀναξίους

3. *εἰ ἐν τῷ κειμένῳ* ΙΣΔ : *εἰ ἄνωθεν πρόςθετον χειρὶ νεωτέρᾳ* Λ : λείπει Μ
5. *Σαμνῖται* ΙΔ : *σαμνίται* ΛΜΣ 6. *Λουκανοὶ* ΣΔ : *Λουκάνοι* ΛΜΙ 8. *Πραίνεστον* ΣΔ : *πρένεστον* ΛΜΙ 11. *εἰς* Π : *ἐκ* Μ *ὑπεχώρησε* ΜΔ : *ὑπεχώρησεν* ΛΙΣ *καὶ* Π : λείπει Μ 13. *εἶδέ τε* ἔγραψα : *εἶδε τὲ* Π : *εἶχέ τε* Δ
17. *προῦθηκεν* ΙΛΣ : *προύθηκεν* Μ : *προῦθησεν* Δ 18. *μετὰ* Π : *κατὰ* Δ *αὐτὸν* ἔγραψα : *αὐτὸν* ΛΜΣ : *αὐτῷ* ΙΔ *προςθείη* Π : *προςτεθείη* Δ
21. *ἐπαγγέλλειν* ΙΣΔ : *ἐπαγγέλειν* ΙΜ 22. *Κινέας* ΣΔ : *κιννέας* ΛΜΙ
28. *τοῦτο* Π : *τούτου* Δ 29. *ἀφεθέντας* ΙΣΔ : *ἀφέντας* ΛΜ

τῆς ῥωμαϊκῆς πολιτείας δι' ἄλλο μὲν οὐδέν, ὅτι δὲ πολεμοῦντες ληφθεῖεν, λύσιν τε αὐτοῖς οὐκ ἔσεσθαι τοῦ κακοῦ πρὶν ἂν τῶν διεγνωσμένων ἀνδρῶν ἐκ τοῦ στρατεύματος τῶν πολεμίων λάφυρα κομίσειεν. Οὕτω μὲν οὖν ἐπανῆλθεν ἄπρακτος ἡ πρεσβεία. Πυνθανομένῳ δὲ τῷ Πύρρῳ παρὰ τῶν πρέσβεων, οἵαν εὕροιεν τὴν πόλιν, φασὶ τὸν Κινέαν εἰπεῖν πατρίδα βασιλέων ἑωρακέναι, τούτῳ δηλοῦντα ὡς οἱ τῆς πόλεως ἔνοικοι πάντες τοιοῦτοι τυγχάνουσιν οἷος αὐτὸς ὁ Πύρρος κατὰ τὴν Ἤπειρον καὶ τὴν Ἑλλάδα πᾶσαν ὑπείληπται. Ἐντεῦθεν ἐκστρατεύουσι πάλιν ἐπὶ τὸν Πύρρον ὑφ' ἡγεμόσιν ὑπάτοις Πουβλίῳ Σουλπικίῳ καὶ Δεκίῳ. Καὶ γενομένης μάχης τιτρώσκεται Πύρρος καὶ τῶν ἐλεφάντων ἀναιρεῖται τὸ πλεῖστον, πίπτουσί τε τῶν μετὰ Πύρρου χιλιάδες εἴκοσι, Ῥωμαίων δὲ πεντακισχίλιοι μόνοι. Φεύγει τοίνυν ὁ Πύρρος ἐπὶ τὴν Τάραντα.

14. Καὶ διελθόντος ἐνιαυτοῦ μετὰ ταύτην τὴν μάχην, Φαβρίκιος αὖθις ἐπιπέμπεται τῷ Πύρρῳ μετὰ στρατιᾶς, ᾧ τὸ τέταρτον τῆς βασιλείας ἦν ὑπεσχημένος. Στρατοπεδευσάμενοι δὲ ἐκ τοῦ πλησίον αὐτός τε καὶ ὁ Πύρρος ἀνέμενον τὴν μάχην. Μιᾷ δὲ τῶν νυκτῶν ἰατρός τις τῷ Πύρρῳ συνὼν προσφεύγει τῷ Φαβρικίῳ, ὑπισχνούμενος φαρμάκῳ τὸν Πύρρον ἀναιρήσειν, εἴ τις αὐτῷ τοῦ ἔργου τούτου καρπὸς γένοιτο. Τοῦτον ὁ Φαβρίκιος δέσμιον ἐκπέμπει τῷ Πύρρῳ, σημάνας ὡς οὐκ ἔστι Ῥωμαίων δόλῳ τοὺς ἐχθρούς, ἀλλ' ὅπλοις ἀναιρεῖν. Τότε τὸν Φαβρίκιον ὑπεραγασθεὶς ὁ Πύρρος Οὗτός ἐστιν, ἔφη, Φαβρίκιος, ὃν οὐκ ἔστιν ἀφελκυσθῆναι τοῦ πρέποντος, ὥσπερ οὐδὲ τὸν ἥλιον τῆς αὐτοῦ φορᾶς. Καὶ ταῦτα εἰπὼν ἐπὶ τὴν Σικελίαν ἀπεχώρησεν. Φαβρίκιός τε, Λουκανούς τε καὶ Σαμνίτας ἑλών, ὑπὲρ τῆς νίκης ἐθριάμβευσε. Δέχονται δὲ τὴν ὑπατείαν Μάρκος Κούριος Δεντάτος καὶ Κορνήλιος Λέντουλος· εὐθὺς δὲ ἐπὶ τὸν Πύρρον ἐκστρατεύουσιν. Ὁ τοίνυν Κούριος συνῆψε πρὸς αὐτὸν μάχην· καὶ τὸ μὲν στράτευμα σχεδὸν ἅπαν ἀπώλεσε τοῦ Πύρρου, αὐτὸν δὲ ἡ Τάρας

6. Ἐν τῇ ᾤᾳ· *Cῦαί* Λ 10. *Δεκίῳ* Δ : *Δεκκίῳ* Π 11. *πίπτουσί τε* ἔγραψα : *πίπτουσι τὲ* ΑΜΙΣ : τοῦ τὲ προστεθέντος κατόπιν Λ : *πίπτουσι τε* Δ 12. *εἴκοσι* ΙΣΔ : *εἴκοσιν* ΑΜ : 15. *μετὰ στρατιᾶς* Π : *μεταστρατιᾶς* Μ 17. *αὐτός τε* ΑΜΔ : *αὐτός τὲ* ΙΣ 20-21. *σημάνας* Π : *σημάνας* Σ 22. *οὗτός ἐστιν* Δ : *οὗτος ἐστὶν* Π 22-23. *ἐστιν—πρέποντος* ἐν τῷ κειμένῳ ΛΙΔ : ἐν τῇ ᾤᾳ πρόςθετα διὰ παραπεμπτικοῦ σημείου ⁒ Λ) 24-25. *ἀπεχώρησεν* Π : *ἀπεχώρησε* Δ 25. *Φαβρίκιός τε* ἔγραψα : *φαβρίκιος τὲ* ΑΜΙ : *Φαβρίκιος δὲ* ΣΔ 27. *Λέντουλος* ΣΔ : *Λεντοῦλος* ΑΜΙ 29. *αὐτὸν δὲ* ΑΜΙ : *αὐτόν τε* Δ

ΙΩΑΝΝΙΝΑ 2006

ὑπεδέξατο φεύγοντα, καὶ γίνεται τῆς παρεμβολῆς τῶν πολεμίων ὁ Κούριος ἐγκρατής. Ὁ δὲ τῶν πεσόντων πολεμίων ἀριθμὸς εἴκοσι τρεῖς ἦσαν χιλιάδες. Οὗτος ὁ πόλεμος ἔδωκε τῷ Κουρίῳ θρίαμβον ἐπισημότατός τε οὗτος ἐγένετο τῶν πώποτε, τεσσάρων ἐλεφάντων τότε πρώτων ἐν τῇ Ῥώμῃ φανέντων. Τούτων οὕτω πραχθέντων καὶ τὴν Τάραντα ἀπολιπὼν ὁ Πύρρος ἐπὶ τὸ Ἄργος ἐχώρησεν, ἔνθα τὸ τέλος τοῦ βίου ἐδέξατο, πεσὼν ἐν πολέμῳ.

15. Ἐντεῦθεν Γάϊος Φάβιος Λικίννιος καὶ Γάϊος Κλαύδιος Κανίνας ὕπατοι χειροτονοῦνται τετρακοσιοστῷ καὶ ἑξηκοστῷ [καὶ πρώτῳ τῆς Ῥώμης ἔτει. Κατὰ τοῦτον τὸν ἐνιαυτὸν πρέσβεις ἀπὸ τῆς Ἀλεξανδρείας πεμφθέντες πρὸς τοῦ βασιλέως Πτολεμαίου κατέλαβον τὴν Ῥώμην, αἰτούμενοι παρ' αὐτῶν εἰρήνην τε καὶ φιλίαν.

16. Ἐκδεξαμένων δὲ τὴν ὑπατείαν Κύντου Κυλληνίου καὶ Γαΐου Φαβίου Πίκτωρος, Πικένται πόλεμον ἐκίνησαν. Χρόνου δὲ διελθόντος οὐ πολλοῦ παρὰ τῶν ἑξῆς ὑπάτων Πουβλίου Σεμπρωνίου καὶ Ἀππίου Κλαυδίου κατεπολεμήθησαν ὡς καὶ θριάμβῳ γενέσθαι χώραν. Τότε δὴ καὶ πόλεις παρὰ Ῥωμαίοις ᾠκοδομήθησαν, Ἀρίμινός τε ἐν Γάλλοις καὶ Βενεβενδὸς ἐν Σαμνίῳ.

17. Μάρκου δὲ Ἀτιλίου Ῥηγούλου καὶ Λουκίου Ἰουνίου Λίβωνος ἐλθόντων ἐπὶ τὴν ἀρχήν, κατὰ Σαλλεντίνων ἐδογματίσθη πόλεμος. Ἡττήθησαν δέ, καὶ τῆς πόλεως ἐξέπεσον τῆς ἑαυτῶν, καὶ μετὰ τούτων Βρουνδισηνοί, καθ' ὧν ἁπάντων οἱ νικήσαντες ἐθριάμβευσαν.

18. Τετρακοσιοστῷ δὲ καὶ ἑβδομηκοστῷ [καὶ ἑβδόμῳ] τῆς πόλεως ἐπὶ πολὺ λοιπὸν ἦν καὶ παρὰ πᾶσι λαμπρὸν τὸ τῆς Ῥώμης

1. *γίνεται* ΑΣΔ : *γίγνεται* ΙΜ  2. *πολεμίων* Π : *πολεμίου* Μ  *εἴκοσι τρεῖς* ΑΙΣ : *εἰκοσίτρεῖς* Μ : *εἴκοσι τρεῖς* Δ  3-4. *ἐπισημότατός τε* Δ : *ἐπισημότατος τὲ* Π  6. Ἐν τῷ φξ' *ἀπὸ κτίσεως Ῥώμης ἕως τελευτῆς Πύρρου τοῦ ἠπειρωτῶν βασιλέως, ἔτη υξα* ΑΜΣ  8. *Λικίννιος* ΑΜΙ : *Λίκινος* ΣΔ. Γραπτέον *Λικῖνος*  8-9. *Κανίνας* ΣΔ : *καμιλίας* ΑΜΙ  9. *ἑξηκοστῷ* Π : *ἑξηκοστῶ* Δ  13. *Κυλληνίου* Π. Γραπτέον *Ὀγουλνίου*  14. *Φαβίου* Π : *Φαβίου τοῦ* Δ  *Πίκτωρος* ΣΔ : *πίκτορος* ΑΜΙ  15. *Πουβλίου* Δ : *Πουπλίου* Π. Ἴδε ἀνωτέρω σ. 23,1,19 καὶ κατωτέρω πολλαχοῦ  *Σεμπρωνίου* ΣΔ : *ἐμπρωνίου* ΑΙ : *ἐμπρωνίου* διαγραφείσης εἶτα τῆς ψιλῆς Μ  16-17. *ὡς καὶ — ᾠκοδομήθησαν* ἐν συνεχείᾳ τοῦ κειμένου Π : ἐν τῇ ᾤᾳ ὑπὸ τοῦ ἐρυθρογράφου διὰ παραπεμπτικοῦ σημείου ₵ Δ  17. *Ἀρίμινός τε* ΣΔ : *ἀριμῆνος τὲ* ΑΜΙ  18. *Βενεβενδὸς* ΑΜΙ : *Βενεβεντὸς* ΣΔ

19. *Ῥηγούλου* ΣΔ : *καὶ ῥηγούλου* ΑΜΙ  *Λουκίου* ΣΔ : *νικίου* ΑΜΙ  19. *Ἰουνίου* ΣΔ : *νίουνίου* ΙΜ : *ἰίουνίου* Α. Διορθωτέον *Ἰουλίου*  20. *Σαλλεντίνων* ΙΣΔ : *σελλαντίνων* ΑΜ  21. *ἐξέπεσον* ΑΣΔ : *ἐξέπεσαν* ΜΙ  23. *καὶ ἑβδόμῳ* προσέθηκε Δ : λείπει Π  23-24. *πόλεως* Π : *πόλεως ἔτει* Δ  24. *πᾶσι* Π : *πᾶσιν* Ι

ὄνομα. Οὔπω δὲ τῆς Ἰταλίας ἐκτὸς αὐτοῖς συνεκεκρότητο πόλεμος. Τότε τοίνυν βουληθέντες τὸ τῶν πολιτῶν γνῶναι πλῆθος, ἀπογραφὴν ἐποιήσαντο, καὶ συνηριθμήθησαν ἀνδρῶν ἐννέα καὶ εἴκοσι μυριάδες καὶ δισχίλιοι διακόσιοι τριάκοντα τέσσαρες, καίτοι παρὰ πάντα τὸν ἔμπροσθεν χρόνον οὐδὲ μιᾶς γενομένης ἀνακωχῆς πολέμου. Ἐν ταύτῃ τῇ δυνάμει τῆς πόλεως πρὸς Ἄφρους αὐτοῖς ὁ πρότερος κινεῖται πόλεμος, Ἀππίου Κλαυδίου καὶ Κύντου Φαβίου τὴν ὕπατον ἐχόντων ἀρχήν. Γίνεται τοίνυν ἐκ τῆς Σικελίας συμπλοκή, καὶ νικήσας ὁ Κλαύδιος Ἄφρους τε καὶ τὸν βασιλέα Σικελίας Ἱέρωνα καθ' ἑκατέρων ἐθριάμβευσε.

19. Τῷ δὲ ἑξῆς ἐνιαυτῷ Οὐαλέριος Μάρκος καὶ Ὠτακίλιος Κράσσος ὕπατοι μεγάλα κατὰ τὴν Σικελίαν εἰργάσαντο. Ταυρομένιον γὰρ καὶ Κατάνην καὶ πεντήκοντα πρὸς τούτοις ἑτέρας πόλεις τῇ ῥωμαϊκῇ συνῆψαν ἀρχῇ. Τρίτῳ δὲ ἔτει τοῦ πρὸς Ἄφρους πολέμου, παρασκευῆς ἐπὶ τὸν βασιλέα γενομένης Ἱέρωνα, φθάνει τὴν μάχην Ἱέρων καὶ μετὰ τῆς συγκλήτου τῆς ἐκ Συρακουσίων αἰτεῖ παρὰ τῶν Ῥωμαίων εἰρήνην ἐπὶ διακοσίοις ἀργυρίου ταλάντοις καὶ λαμβάνει. Τρέπεται τοίνυν ἡ παρασκευὴ ἐπὶ τοὺς Ἄφρους, καὶ ἡττῶνται, καὶ θριαμβεύει κατ' αὐτῶν ὁ νενικηκώς.

20. Ἔτει δὲ πέμπτῳ τοῦ προτέρου πρὸς Ἄφρους πολέμου, Γαΐου Δουελλίου καὶ Γναίου Κορνηλίου Ἀσιανοῦ καθεστηκότων ὑπάτων, ἐναυμάχησαν Ῥωμαῖοι, τοῦτο πρῶτον ἐν θαλάττῃ πολεμοῦντες· ναυσί τε ἐχρῶντο μακραῖς, ἃς αὐτοὶ μὲν ἐκάλουν ῥῶστρα ἀπὸ τοῦ τὰς πρῴρας αὐτῶν ὀρνέων τινῶν μιμεῖσθαι ῥάμφη. Λιβύρνας δὲ ἡ συν-

1. *ὄνομα* Π : *ὄνομα* Ι   *ἐκτὸς* Π : *ἐκτὸς* Ι   *συνεκεκρότητο* Π : *συνεκρότητο* Λ (με supra)

2. *γνῶναι* Π : *γνῶνε* Ι   3. Ἐν τῷ *φχ' ἀνδρῶν μυριάδες ἐγγὺς λ'* (λ˝ .Α) *τότε ἦσαν ἐν ῥώμῃ* ΛΣ   4. *τριάκοντα τέσσαρες* ΙΣΔ : *τριακοντατέσσαρες* ΛΜ

8. *ἐκ τῆς Σικελίας* Π : *ἐν τῇ Σικελίᾳ* ὀρθῶς Δ   10. *ἑκατέρων* ΙΣΔ : *ἑκάτερων* ΛΜ   14. *τρίτῳ* Π : *τρίτων* Μ   15. *Ἱέρωνα* Π : *ἱερώνα* Μ   20. Ἐν τῷ *φχ' ἀπὸ κτίσεως Ῥώμης ἕως οὗ πρώτως θαλάσσης ἐπέβησαν ῥωμαῖοι καὶ ἐναυμάχησαν καρχηδονίοις ἔτη τὸ ἔγγιστα* ΛΜΣ   *ἔτει* Π : *ἔτει* κατὰ διόρθωσιν μεταγενεστέραν τοῦ ἔτι Λ   *Ἄφρους* ΙΣΔ : *ἄφρους* κάτωθεν (ἐν τῷ Λ μέλαν) καὶ *καρχηδονίους* ἄνωθεν (ἐν τῷ Λ ἐρυθρόν) ΛΜ   21. *Δουελλίου* Π. Γραπτέον *Δουιλλίου*   *Γνέου* Π. Γραπτέον *Γναίου*   *Ἀσιανοῦ* Π. Γραπτέον *Ἀσινᾶ*

22. *τοῦτο* Π. Γραπτέον *τότε* ;   22-23. *ναυσί τε* Δ : *ναυσί τέ* Π   23. *ῥῶστρα* Π : *ῥωστράτας* Δ   24. *μιμεῖσθαι* Δ : *μεμίχθαι* Π   *ῥάμφη* χειρὶ νεωτέρα ἐκ τοῦ *ῥάμφει* Λ : *ῥάμφει* Ι   *λιβύρνας* ἔγραψα : *λιβύρνα* ΛΜΣ : *λίβυρνα* ΙΔ

ἤθεια προςαγορεύει. Κατὰ ταύτην δὴ τὴν ναυμαχίαν ἐξ ἀπάτης ὑπὸ τοῖς πολεμίοις ἐγένετο Κορνήλιος· κρατῶν γὰρ τοῖς ὅπλοις, δόλῳ τῶν Ἄφρων, ὡςανεὶ σπονδὰς αἰτούντων, τῆς αὐτῶν ἐπιβὰς τριήρους συνελήφθη τε καὶ δεθεὶς ἀπήχθη. Δουέλλιος δέ, ἐπεξελθὼν τῇ μάχῃ, νικᾷ τὸν στρατηγὸν τῶν πολεμίων μίαν τε καὶ τριάκοντα ναῦς αἱρεῖ, δέκα καὶ τέσσαρας ἑτέρας καταποντίσας· ἑπτὰ δὲ χιλιάδας αἰχμαλώτων ὑφ' ἑαυτὸν κατεστήσατο, τρεῖς δὲ διέφθειρε χιλιάδας, σιδήρῳ τε καὶ τοῖς ὕδασι νίκην κατεπράξαντο Ῥωμαῖοι, ἧς ἄλλην οὐχ ἡγήσαντο λαμπροτέραν οὐδ' αὖ χαριεστέραν, ἐπειδήπερ, ὡμολογημένου τοῦ κατὰ γῆν κράτους, κρείττους καὶ κατὰ θάλασσαν ὤφθησαν, ἐν ᾧ πλεονεκτεῖν Ἄφροι τὸ πρὶν ἐνομίζοντο. Γαΐου δὲ Ἀκκυλίου Φλώρου καὶ Λουκίου Σκηπίωνος διαδεξαμένων τὴν ὑπατείαν, Κορσίκη καὶ Σαρδώ, πάντα τρόπον πολιορκηθεῖσαι πολύ τε ἀποβαλοῦσαι πλῆθος ἀνδρῶν αἰχμαλώτων, ὑπὸ τοῖς ὑπάτοις γενομένων, ἀφορμὴ θριάμβου τοῖς νενικηκόσιν ἐγένοντο.

21. Λουκίου δὲ Μανιλίου Βούλσωνος καὶ Μάρκου Ἀτιλίου Ῥηγούλου τὴν ἀρχὴν ὑποδεξαμένων, ἐκ τῆς Ἰταλίας τε καὶ Σικελίας ἐπὶ τὴν Ἀφρικὴν ὁ πόλεμος μετηνέχθη. Καὶ γίνεται ναυμαχία καρτερὰ πρὸς Ἀμιλκάρτην, τὸν τῶν πολεμίων στρατηγόν, καθ' ἣν τέσσαρες καὶ ἑξήκοντα ναῦς οἱ Ῥωμαῖοι καταποντίσαντες, τὸν μὲν στρατηγὸν ἔτρεψαν εἰς φυγήν, ἀπέβαλον δὲ καὶ αὐτοὶ δύο καὶ εἴκοσι ναῦς. Ἀποβάντες δὲ εἰς τὴν πολεμίαν γῆν, εὐθὺς μὲν Κλυπέαν εἷλον, ἐπιφανῆ τῶν Ἄφρων πόλιν, δρόμος δὲ ἦν αὐτοῖς ἐπὶ τὴν Καρχηδόνα. Πᾶν δὲ ὃ διῆλθον ἐκπολιορκήσαντες ἐχωρίσθησαν. Καὶ Μανίλιος μὲν εἰς τὴν Ῥώμην ἐπανῆκε μετὰ λαμπρᾶς νίκης, ἑπτὰ καὶ εἴκοσι χιλιάδας αἰχμαλώτων ἄγων· Ῥήγουλος δὲ προσμείνας ἔτι τοῖς πράγμασιν, ἐπανέλαβεν ἐπ' αὐτῆς τῆς Ἀφρικῆς τὴν μάχην, τρισὶ τῶν

1. τοῖς Π : τῆς Μ 4. *Δουέλλιος* Π. Γραπτέον *Δουίλιος* 8. ὕδασι ΙΣΔ : ὕδασιν ΑΜ *νίκην* ἔγραψα : *νίκην τὲ* Π : *νίκην τότε* Δ 10. ᾧ ΑΜΙ : ἧ ΣΔ 11. *Ἀκκυλίου* ΑΜΙ : *Ἀκυλίου* Σ : *Αἰκυλίου* Δ 12. *Σκιπίωνος* ΙΔ : *Σκηπίωνος* ΑΜΣ *Κορσίκη* Π. Γραπτέον *Κορσική* 16. *Μανιλίου* Π. Γραπτέον *Μαλλίου* 17. *τε* ἔγραψα : *τὲ* ΑΜΣ : λείπει ΙΔ 19-20. *τέσσαρας* Π : *τέσσαρας* χειρὶ νεωτέρᾳ ἐκ τοῦ *τέσσαρες* Δ 20. *ἑξήκοντα* Π : *ἐξήκοντα* Α 22. *Κλυπέαν* Δ : *κλἴπέαν* Π 23. *Ἄφρων* ΑΣΔ : *ἄφρων* ΑΜ 23-24. *Καρχηδόνα* ΙΣΔ : *καλχηδόνα* ΑΜ 24-25. *Μανίλιος* ΙΣΔ : *μανήλιος* ΑΜ. Γραπτέον *Μάλλιος* 25. *μετὰ λαμπρᾶς* Π : *μεταλαμπρᾶς* Μ 26. *Ῥήγουλος* Π : *Ῥηγοῦλος* Δ *προσμείνας* Π : *προσμείνας* Α 27. *αὐτῆς* ΙΣΔ : *αὐτοῖς* ΑΜ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΡΓΑΣΤΗΡΙΟΥ ΚΑΘΗΓΗΤΗΣ Θ. ΠΕΛΕΓΡΙΝΗΣ Κ.Ε.Φ.Α. τμ. Φ.Π.Ψ. ΙΩΑΝΝΙΝΑ 2006

πολεμίων στρατηγοῖς ἀντιπαραταξάμενος· περιγενόμενος δὲ τοῦ πολέμου ὀκτώ τε καὶ δέκα χιλιάδας ἀνελὼν καὶ πέντε ζώντων ἑλὼν ἐλέφαντάς τε ὀκτὼ καὶ δέκα ληισαμένος, ἑβδομήκοντα καὶ τέσσαρας πόλεις ὑποσπόνδους τῇ Ῥώμῃ συνῆψε, τάξας αὐταῖς ὡς ἐβουλήθη φόρους. Ἐνταῦθα λοιπὸν οἱ Ἄφροι, κεκμηκότων αὐτοῖς τῶν πραγμάτων, εἰρήνην αἰτοῦσιν· οὐ δεξαμένου δὲ τὴν ἱκετείαν Ῥηγγούλου, συνθήκας δὲ ἀπαιτοῦντος τῶν σπονδῶν ἀπηνεῖς τε καὶ τραχείας, Λακεδαιμονίους ἐπεκαλέσαντο πρὸς συμμαχίαν· καὶ πέμπεται αὐτοῖς στράτευμα λακωνικὸν ὑφ' ἡγεμόνι Ξανθίππῳ. Συγκροτηθέντος οὖν πολέμου, μεταπίπτει τῷ Ῥηγγούλῳ τὰ τῆς τύχης· ἡττᾶται γὰρ ἧτταν οὕτω μεγάλην, ὥστε πάσης μὲν τῆς στρατιᾶς δισχιλίους διαφυγεῖν μόνους, αὐτὸν δὲ μετὰ πεντακοσίων ὑπὸ τοῖς πολεμίοις γενόμενον δεθῆναι, τρεῖς δὲ χιλιάδας ἀνδρῶν μαχιμωτάτων πεσεῖν.

22. Ἀλλ' οἱ μετὰ τούτοις ὕπατοι Μάρκος Αἰμίλιος Παῦλος καὶ Σέρβιος Φούλβιος τὴν μὲν κατὰ τὸν πόλεμον δυσπραγίαν ἐπηνώρθωσαν, οὐδὲ αὐτοὶ δὲ συμφορᾶς ἔξω κατέστησαν. Τριακοσίαις γὰρ ναυσὶ συμμίξαντες τοῖς Ἄφροις ὑπερέσχον, ὥστε τέσσαρας μὲν καὶ ἑκατὸν νῆας καταποντίσαι, τριάκοντα δὲ μετὰ τῶν ἐν αὐταῖς μαχομένων ἑλεῖν, ἀνδρῶν δὲ δεκαπέντε χιλιάδας τὰς μὲν διαφθεῖραι, τὰς δὲ αἰχμαλώτους ἀπάγειν, τὸ δὲ στράτευμα τὸ οἰκεῖον πᾶσι χρήμασι τοῖς ἐκ τῆς λείας πλουσιώτατον ἀποφῆναι. Οὐδὲν δ' ἂν ἐκώλυσε δουλεῦσαι τότε τοὺς Ἄφρους, εἰ μὴ λιμὸς ἐπελθὼν προαπήγαγε τὴν στρατιὰν τοῦ τέλους. Ἐν οὕτω λαμπροῖς τοῖς κατὰ τὴν μάχην καὶ μετὰ τοσούτων λαφύρων ἐπανιόντα τὸν στόλον σχεδὸν ἅπαντα θαλάσσιος κλύδων κατειργάσατο, καὶ τοσοῦτον ἐγένετο ναυάγιον, ὥστε ἐκ τετρακοσίων καὶ ἑξήκοντα καὶ τεσσάρων νηῶν ὀγδοήκοντα μόνας ἀθλίως διασωθῆναι. Οὐδείς τε χρόνος τοσοῦτον χειμῶνα μνήμῃ παρέδωκεν ἀνθρώπων οὐδὲ τοσοῦτον σύμπτωμα θαλάσσιον. Οὐ μὴν τοῦτο παρέλυσε τὸ φρόνημα τὸ ῥωμαϊκόν, οὐδὲ ἀφεῖλέ τι τῆς ἀκμῆς,

1-2. *τοῦ πολέμου* Π : *τῷ πολέμῳ* Δ 2. *ὀκτώ τε* ἔγραψα : *ὀκτὼ τὲ* ΑΜΙ : *ὀκτὼ δὲ* ΣΔ 3. *ἐλέφαντάς τε* Δ : *ἐλέφαντας τὲ* Π *ληισάμενος* Π : *ληΐσάμενος* ἐκ τοῦ *ληΐσάμενοι* Α 8. *ἐπεκαλέσαντο* Π : *ἀπεκαλέσαντο* Μ 13. *χιλιάδας* Π : *μυριάδας* Δ 14. *Ἀλλ' οἱ* Δ : *ἄλλοι* Π 15. *Σέρβιος* ΣΔ : *ἐρβίλιος* ΑΜ : *ἐρβίλιος* Ι 17. *συμμίξαντες* Π : *συμμίξαντε* προστεθέντος ἐν τέλει ς ὑπὸ τῆς δευτέρας χειρὸς Α 18. *νῆας* Π : *νῆας* Μ 20. *ἀπάγειν* Π : *ἐπάγειν* Ι 21. *ἀποφῆναι* Π : *ἀποφῆναι* Σ 21-22. *δουλεῦσαι* ΑΜΙ : **δουλοῦσαι* Σ : *δουλοῦσθαι* Δ 26. *ἑξήκοντα* Π : *ἑξήκοντα* Α *νηῶν* ΑΜΙ : *νεῶν* ΣΔ 29. *ἀφεῖλέ τι* ΙΔ : *ἀφεῖλε τὶ (τί Α)* ΑΜΣ

ΙΩΑΝΝΙΝΑ 2006

παραχρῆμά τε διακοσίας ἐπισκευασάμενοι ναῦς, πρὸς ἑτέρας παρεσκευάσαντο ναυμαχίας.

23. Οἱ οὖν ἑξῆς ὕπατοι, Γνέος Σερβίλιος Σκηπίων καὶ Γάϊος Σεμπρώνιος Βλέσος ἑξήκοντα καὶ διακοσίας ναυσὶν ἐπὶ τὴν Ἀφρικὴν ἐξέπλευσαν. Καί τινας μὲν τῶν πόλεων εἶλον· λαφύρων δὲ ἐμπλήσαντες τὰς ναῦς ἀπῄεσαν· ἀλλὰ καὶ τούτοις χειμὼν διέφθειρε τὴν εὐπραγίαν, ναυαγίῳ περὶ τὸ πλεῖστον τοῦ στόλου χρησαμένοις. Αὗται τοίνυν αἱ συμφοραί, ἀλλήλαις ἐφάμιλλοί τε καὶ συνημμέναι, τὴν περὶ τὸ ναυμαχεῖν προθυμίαν ἐξέβαλον τῶν Ῥωμαίων, δόγμα τε ἡ σύγκλητος ἐποιήσατο μηκέτι ταῖς κατὰ θάλατταν χρῆσθαι μάχαις μηδὲ ναῦς ἔχειν πλὴν ἑξήκοντα φυλακῆς ἕνεκα τῶν ἰταλικῶν ὁρίων πρὸς τὰς ἔξωθεν ἐκ θαλάττης ἐφόδους.

24. Λουκίου δὲ Καικιλίου Μετέλλου καὶ Γαΐου Φουρίου Πλακίδου πρὸς τὴν ὑπατείαν κληθέντων, γίνεται μάχη περὶ τὴν Σικελίαν πρὸς Ἄφρους, ἑνὸς τῶν ὑπάτων Μετέλλου στρατηγοῦντος. Ἐν ταύτῃ νικᾶται τῶν Ἄφρων ὁ στρατηγός, τριάκοντα μὲν καὶ ἑκατὸν ἐλέφαντας ὁπλίτας ἄγων, στρατιὰν δὲ πασῶν τῶν ἔμπροσθεν μεγίστην. Καὶ πίπτουσι μὲν εἴκοσι χιλιάδες ἀνδρῶν, ἐλέφαντες δὲ ἐζωγρήθησαν παρ' αὐτὸν μὲν τὸν πόλεμον ἓξ καὶ εἴκοσι, τοὺς λοιποὺς δὲ οἱ συμμαχοῦντες αὐτῷ Νουμίδαι πλανωμένους συνέλαβόν τε καὶ παρεστήσαντο τῷ ὑπάτῳ. Μετὰ θαυμαστῆς οὖν πομπείας εἰς τὴν Ῥώμην εἰσῆλθε, τῶν ἐλεφάντων μεγέθει τε καὶ πλήθει τὰς ὁδοὺς πληρούντων.

25. Οὗτος δὲ ὁ πόλεμος ἠνάγκασε τοὺς Ἄφρους καταφυγεῖν ἐπὶ τὸν Ῥηγγοῦλον, ὃν ἐν δεσμοῖς εἶχον, παρεκάλουν τε αὐτὸν συμπρεσβεῦσαί τοῖς ὑπ' αὐτῶν πρὸς Ῥωμαίους ἐκπεμπομένοις, ὥςτε αὐτοῖς γενέσθαι σπονδὰς καὶ τοὺς ἑκατέρων αἰχμαλώτους ἀντιδοθῆναι τοῖς

1. *παραχρῆμά τε* ΔΜ : *παραχρῆμα τὲ* ΑΙΣ 1-2. *παρεσκευάσαντο* Π : *παρασκευάσαντο* Μ 3. *οὖν* Π : *οὐν* Μ *ἑξῆς* ΣΔ : *ἑξῇς* ΑΜΙ *Γνέος* Π : *γνέος* Ι. Γραπτέον *Γναῖος* *Σκηπίων* Π : *Κηπίων* ὀρθῶς Δ 4. *ἑξήκοντα* Π : *συνεξήκοντα* Ι 6. *διέφθειρε* Π : *διέφθειρεν* ἐκ τοῦ *διέφθειρε* Μ 7. *χρησαμένοις* ΣΔ : *χρησαμένους* ΑΜΙ 8. *ἀλλήλαις* ἔγραψα : *ἀλλήλοις* Π 9. *ἐξέβαλον* ΣΔ : *ἐξέβαλεν* ΑΜΙ 11. *μηδὲ* ἔγραψα : *μὴδὲ* Μ : *μήτε* ΙΣΔ *ἑξήκοντα* ΙΣΔ : *ἑξήκοντα* ΑΜ *ἰταλικῶν* Ι : *Ἰταλῶν* Π 13. *Καικιλίου* ΣΔ : *καικιλίου* ἐκ τοῦ *καὶ κιλίου* διαζευχθείσης τῆς βαρείας τοῦ *καὶ* Μ : *καὶ κιλίου* ΙΑ *Μετέλλου* ΣΔ : *μετέλλου* ΑΜΙ *Φουρίου* ΜΣΔ : *φρουρίου* ΑΙ 14. *γίνεται* Π : *γίγνεται* Ι 20. *συνέλαβόν τε* ΣΔ : *συνέλαβον τὲ* ΑΜΙ 21. *θαυμαστῆς* Π : *θαυμαστῆς* ἐκ τοῦ *θαυμαστοῖς* Μ 24. *Ῥηγγοῦλον* Π. Γραπτέον *Ῥήγουλον*

οἰκείοις. Τὸ μὲν οὖν πρῶτον ἀντιβολοῦντος αὐτοὺς ὁ Ῥηγοῦλος, καίτοι δέσμιος ὤν, ἀπεωθεῖτο. Νικηθεὶς δὲ τῇ προσεδρείᾳ, παραγίνεται μὲν εἰς τὴν Ῥώμην· δοθέντος δὲ αὐτῷ λόγου, οὐδὲν ἠνέσχετο κατὰ Ῥωμαῖον ὑπατικὸν καὶ ἄνδρα πρᾶξαι, φάσκων ἀφ' ἧς ἡμέρας ὑπὸ τοῖς πολεμίοις ἐγένετο τῆς ῥωμαϊκῆς ἐκπεπτωκέναι πολιτείας. Οὔτε οὖν τὴν γαμετὴν ἐδέξατο περιπλοκὰς ζητήσασαν, καὶ σύμβουλος γίνεται Ῥωμαίοις μὴ προσίεσθαι τοὺς Ἄφρους ἐπαγγέλλοντας εἰρήνην· περικεκόφθαι γὰρ αὐτοῖς τὰς δυνάμεις· καὶ μήτε αὐτὸν μήτε τοὺς συνειλημμένους αὐτῷ ἀξιοχρέους ὑπειλῆφθαι χρῆναι πρὸς τοσούτων αἰχμαλώτων, τῶν ἐξ Ἀφρικῆς κατεχομένων, ἀντίδοσιν. Ταῦτα συμβουλεύσας ἐκράτησε, πάντων τῶν αὐτοῦ τὰ τοῦ δήμου προςθείς. Οὐ δὴ καὶ τοῦτο γενναιότατον τῶν ἔργων· τῶν γὰρ πρεσβευτῶν ἀπράκτων ἀποπεμφθέντων, συναπῆλθε καὶ ὁ Ῥηγοῦλος· καὶ βουλομένων αὐτὸν τῶν πολιτῶν κατέχειν, οὐκ εἶξεν, ὡς οὐ δυνάμενος πρέπον ἀξίωμα πολίτῃ Ῥωμαίῳ ἔχειν μετὰ τὴν παρὰ τοῖς Ἄφροις δουλείαν. Τοσοῦτον ἦν τὸ φρόνημα τῶν Ῥωμαίων· ἐπεὶ τὸ τῶν ὅρκων, οὓς ἐδεδώκει τοῖς Ἄφροις, ἦ μὴν ἐπανήξειν εἰ μὴ καταπράξαι τὰς σπονδάς, οὐδὲν ἐκώλυε μένειν. Ὁ γὰρ ἀρχιερεὺς ὁ καλούμενος παρ' αὐτοῖς ποντίφεξ οὐκ εἶναι τὸ πρᾶγμα ἐπιορκίαν ἐκ τῶν ἱερῶν ἐψηφίσατο νόμων. Ἐπανελθὼν οὖν πρὸς τὴν Ἀφρικὴν πολυτρόποις ἐξεδόθη κολάσεσιν, ἃς ἄλλοι ἄλλως ἐκδεδώκασιν, καὶ παρ' αὐταῖς τὸν βίον ἐτελεύτησεν.

26. Ἐντεῦθεν Πούδλιος Κλαύδιος Ποῦλχρος καὶ Γάϊος Ἰούνιος ὕπατοι χειροτονηθέντες ἐπίσης ἐδυστυχήσαν. Κλαύδιος μὲν γὰρ οὐκ ἀφοσιωσάμενος, ᾗ ὁ νόμος ἐνεανιεύσατο κατὰ τῶν συμβόλων· αὐσπίκεια καλοῦσιν αὐτὰ οἱ Ῥωμαῖοι· σημεῖα δὲ ἦν ταῦτα δαιμονίοις διδόμενα τοῖς ἐπὶ πόλεμον ἐξιοῦσι· καὶ διὰ τοῦτο χεῖρον ἔσχεν ἐν τῇ τῶν Ἄφρων μάχῃ, ὥστε ἐκ διακοσίων εἴκοσι νηῶν, αἷς ἐναυμάχει, τριάκοντα διασωθῆναι καὶ αὐτὸν μετ' αὐτῶν φυγεῖν, τὰς δὲ ἄλλας

1. *Ῥηγοῦλος* Π. Γραπτέον *Ῥήγουλος* 3-4. *Ῥωμαῖον* Π : *ῥωμαῖον* ἐκ τοῦ *ῥωμαίων* Μ 4. *καὶ* ΑΜΙ : λείπει ΣΔ 7. *προσίεσθαι* ἔγραψα : *προσίεσθαι* Π 11. *αὐτοῦ* ΙΔ : *αὐτοῦ* ΑΜΣ 13. *Ῥηγοῦλος* Π. Γραπτέον *Ῥήγουλος* 15. *Ῥωμαίῳ* ΙΣΔ : *ῥωμαίων* ΑΜ 17. *ἦ* ΙΣΔ : *ἢ* ΑΜ *καταπράξαι* Π : *καταπράξαιτο* Μ 21. *ἐκδεδώκασιν* Π : *ἐκδεδώκασι* Δ 22. *Πούβλιος* ἔγραψα. Ἴδε ἀνωτέρω σ. 23, 1. 19 καὶ ἀλλαχοῦ : *Πούπλιος* Π 25. *αὐτὰ* ΣΔ : *αὐ*$^{τ}$ ΑΜ : *αὐτὸν* Ι *οἱ* Π : λείπει Α *δαιμονίοις* Π : *δαιμονίους* Δ 26. *ἐξιοῦσι* Π : *ἀξιοῦσι* Μ *διὰ τοῦτο* ΙΣΔ : *διατοῦτο* ΑΜ *ἔσχεν* Π : *ἔσχον* Ι 27. *τῶν* Π : *κατὰ τῶν* Δ *νηῶν* Π : *νεῶν* Δ 28. *αὐτὸν* Π : *αὐτὸν* ἐκ τοῦ *αὐτῶν* Μ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΜΕΣΑΙΩΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τὰς μὲν καταποντισθῆναι, τὰς δὲ ὑπὸ τοῖς πολεμίοις μετὰ τῶν ἐμπλεόντων πολεμιστῶν γενέσθαι. Ὁ δὲ ἕτερος ὕπατος ναυαγίῳ τὰς ναῦς ἀποβαλὼν τὸ στράτευμα σῶον ἐπανήγαγεν· ἐπ᾽ αὐτῇ γὰρ τῇ χέρσῳ ἐφθάρησαν αἱ νῆες, ὥστε τοὺς ἄνδρας ἄνευ πόνου τῆς γῆς ἐφικέσθαι.

27. Μετὰ τούτους ὕπατοι γίνονται Γάϊος Λουτάτιος Κάτουλος καὶ Αὖλος Ποστούμιος Ἀλβῖνος. Τρίτον δὲ ἦν τοῦτο καὶ εἰκοστὸν ἔτος τοῦ πρὸς Ἄφρους πολέμου. Κάτουλος τοίνυν τὰ πρὸς Ἄφρους ἐκλεξάμενος, τριακοσίαις ναυσὶν ἐπ᾽ αὐτοὺς ἐχώρησεν· ἐκεῖνοι δὲ τετρακοσίαις ἀντεπαρετάξαντο. Τοσούτῳ δὲ οὔτε πώποτε ἔμπροσθεν στόλῳ ἀλλήλοις οὗτοι οἱ δῆμοι συνέμιξαν. Ἀλλὰ καὶ αὐτὸς ὁ Κάτουλος ἐπέβη τῆς νεὼς ἀρρωστῶν· τέτρωτο γὰρ ἐν τῇ προτέρᾳ μάχῃ. Συμμιξάντων δὲ αὐτῶν περὶ τὸ Λιλύβαιον τῆς Σικελίας, τοσαύτην ἐπεδείξαντο Ῥωμαῖοι τὴν προθυμίαν, ὡς ἑξήκοντα μὲν ναῦς πολεμίας ἑλεῖν, πέντε δὲ καὶ εἴκοσι καὶ ἑκατὸν καταποντίσαι, δύο δὲ καὶ τριάκοντα χιλιάδας αἰχμαλώτων ἀνδρῶν λαβεῖν, τρισκαίδεκα δὲ διαχρήσασθαι, καὶ πάντα δὲ τὸν πλοῦτον· ἐτύγχανον γὰρ αὐτὸν ἐναποθέμενοι τὰς ναυσί, τῷ μεγέθει τοῦ στόλου πεποιθότες, οἱ πολέμιοι· ἑαυτῶν ποιήσασθαι. Τῶν Ῥωμαίων δὲ αὐτῶν δυοκαίδεκα νῆες διεφθάρησαν. Ὁ μὲν οὖν πόλεμος ὁ αὐτὸς συνέστη πρὸ ἓξ εἰδῶν Μαρτίων κατὰ τοὺς Ῥωμαίους. Ἄφροι δὲ παραχρῆμα τὴν εἰρήνην ἐπήγγειλαν, καὶ ταύτην ἔδοσαν οἱ Ῥωμαῖοι, λαβόντες τοὺς αἰχμαλώτους τοὺς ὑπὸ τοῖς Ἄφροις ὄντας· ὧν δὲ αὐτοὶ κατεῖχον, προσκομιζόντων λύτρα τῶν Ἄφρων, οὐκ ἐδέξαντο, ἀλλὰ καὶ αὐτοὶ προῖκα διαφῆκαν· εἰ δέ τινες ἦσαν ὑπὸ δεσπόταις ἐκ δημοσίας πράσεως γεγενημένοι, τούτων ἐψηφίσαντο τὰ τιμήματα καταβληθῆναι τοὺς ἐωνημένους. Καὶ οὐδὲ ταῦτα τοὺς Ἄφρους ἐζημίωσαν, ἀλλὰ τὸν ταμίαν τῶν δημοσίων χρημάτων ἀπαριθμῆσαι προσέταξαν.

28. Μεταστάσης δὲ τῆς ἀρχῆς ἐπὶ Κύντον Λουτάτιον καὶ Αὖλον Μάλλιον ἐπηνέχθη Φαλίσκοις πόλεμος· πόλις δὲ ἦν αὕτη τῆς Ἰταλίας δυνατωτάτη· καὶ τούτων ἑκάτεροι κατώρθωσαν ὕπατοι ἐν ἓξ ταῖς

3. *αὐτῇ γὰρ τῇ* Π : *αὐτῷ γὰρ τῷ* Ι 6 (καὶ 11). *Κάτουλος* Σ : *Κατοῦλος* Π 7. *Αὖλος* ΣΔ : *αὐτὸς* ΑΜΙ 8. *Κάτουλος* ἔγραψα : *Κατοῦλος* Π *τὰ* ἔγραψα ; *τὰς* Π 10. *ἀντεπαρετάξαντο* Π : *ἀντιπαρετάξαντο* Δ 14. *ἑξήκοντα* Π : *ἑξήκοντα* Α 21. *παραχρῆμα* Π : *παραχρῆμα* ἐκ τοῦ *παρὰ χρῆμα* Μ 21-22. *ἐπήγγειλαν* Π : *ἐπήγγειλαν* τῇ δευτέρᾳ χειρὶ ἐκ τοῦ *ἀπήγγειλαν* Δ 23. *αὐτοὶ* Π. Γραπτέον *αὖθις* ; 25. *δεσπόταις* Π : *δεσπόταις* ἐκ τοῦ *δεσπότες* Μ 31. *κατώρθωσαν* ΣΔ : *κατόρθωσαν* ΑΜ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.ΑΝ.Ε.Κ. τ.Π ΙΩΑΝΝΙΝΑ 2006

πάσαις ἡμέραις, μυρίων μὲν καὶ πεντακισχιλίων πεσόντων ἐκ τοῦ στρατεύματος τῶν πολεμίων, τοῖς δὲ λοιποῖς εἰρήνης δοθείσης ἐφ' ἡμίσει τῆς γῆς, ὃ Ῥωμαίοις ἔδοξε γενέσθαι.

# ΒΙΒΛΙΟΝ Γ'.

1. Οὕτω μὲν οὖν ὁ πρὸς Ἄφρους ἔληξε πόλεμος εἴκοσι καὶ τρισὶ παρεκταθεὶς ἐνιαυτοῖς. Ῥωμαῖοι δὲ ἤδη γνωριμώτατοι παρὰ πᾶσι γεγενημένοι πρέσβεις ἀπέστειλαν πρὸς τὸν Αἰγύπτου βασιλεύοντα Πτολεμαῖον, ὑπισχνούμενοι συμμαχίαν αὐτῷ κατὰ τοῦ Σύρων βασιλεύοντος Ἀντιόχου. Ὁμολογήσας δὲ Πτολεμαῖος τῇ πρεσβείᾳ χάριν οὐκ ἐδεήθη τῆς συμμαχίας, ἐπειδήπερ εἶχεν ἤδη πέρας ἐκεῖνος ὁ πόλεμος. Κατὰ δὲ τὸν αὐτὸν χρόνον τῆς Σικελίας βασιλεὺς Ἱέρων, δυνατώτατος τῶν πώποτε, εἰς τὴν Ῥώμην ἀφίκετο, μεθέξων τῆς τελουμένης αὐτόθι θέας, σῖτόν τε εἴκοσι μυριάδας ἐδωρήσατο τῷ δήμῳ.

2. Ἡνίκα δὲ Ἱέρων κατέλαβε τὴν Ῥώμην, Λούκιος Κορνήλιος Λεντοῦλος καὶ Φούλβιος Φλάκκος ὕπατοι κατὰ Ῥηγούλων ἤραντο πόλεμον ἐντὸς τῶν ἰταλικῶν ὁρίων, καὶ νίκης γενομένης ἐθριάμβευσαν. Καρχηδόνιοι δὲ, παρεγχειροῦντες ταῖς σπονδαῖς, τοὺς Σαρδῴους, οὓς αἱ συνθῆκαι Ῥωμαίοις ὑπακούειν ἠβούλοντο, παρηρέθιζον καὶ ἔπειθον ἀντιτάττεσθαι. Τοῦ δὲ πράγματος εἰς φῶς κεχωρηκότος, πρεσβεία Καρχηδονίων παραγενομένη τὴν εἰρήνην ἐκύρωσεν.

3. Ὑπάτων τε ἀναδειχθέντων Τίτου Μαλλίου Τορκουάτου καὶ Γαΐου Ἀνιλίου Βούσκλου, θρίαμβος μὲν γίνεται κατὰ Σάρδων, μάχῃ κρατηθέντων· μετὰ δὲ τοῦτο πᾶς πανταχόθεν ἐπέπαυτο πόλεμος, καρτερά τε ἦν ἡσυχία, οἵαν οὐδενὶ χρόνῳ συνέβη γενέσθαι πλὴν ἐπὶ Νουμᾶ Πομπιλίου, ὃς μετὰ Ῥωμύλον ἐβασίλευσε.

1. *πάσαις* Π : *πάσαις* ἐκ τοῦ *πᾶσαις* Μ 3. *ἡμίσει* Π : *ἡμίσει* ἐκ τοῦ *ἡμῖν* Μ
3. *σῖτόν τε* Δ : *σῖτον τὲ* Π 7. *τῆς* Π : *ὁ τῆς* Δ 11. *Λεντοῦλος* Π : *λεντοῦτος* Α. Γραπτέον *Λέντουλος* *Ῥηγούλων* Π : *Λιγύρων* Δ : Διορθωτέον *Λιγύων* *ἤραντο* ΑΜΙ : *ἤραντο* ΣΔ 13. *ἰταλικῶν* Ι : *Ἰταλῶν* Π *γενομένης* Π : *γεναμένης* διορθωθὲν εἰς *γενομένης* Μ 13-14. *ἐθριάμβευσαν* Π : *ἐθριάβευσαν* Δ 14. *παρεγχειροῦντες* Π : *παρεχειροῦντες* 18. *τὲ* ΑΜΙ : *δὲ* Δ : λείπει Σ *Τίτου* ΣΔ : *τίτου* ΑΜΙ *Τορκουάτου* ΣΔ : *τορκουάτου* μετὰ διάξεσιν τοῦ πρώτου καὶ ἕκτου γράμματος Μ : *κορκουάτου* ΑΙ 19. *Βούσκλου* Π. Διορθωτέον *Βούλβου* 22. *Ῥωμύλον* ΙΣΔ : *ῥωμύλον* ΑΜ



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΕΦ.ΑΤΗΣ Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

4. Διαδεξαμένων δὲ τὴν ὑπατείαν Λουκίου Ποστουμίου Σαβίνου καὶ Γνέου Φαβίου Κεντουμάλου, πόλεμος συνέστη πρὸς Ἰλλυριοὺς Ῥωμαίοις. Καὶ πρότερον μὲν αἱ πλεῖσται τῶν πόλεων, μετὰ δὲ ταῦτα καὶ οἱ βασιλεῖς τῆς χώρας ἐκείνης τοῖς ὑπάτοις ἑαυτοὺς ἐνεχείρισαν.

5. Μετὰ τούτους, Λουκίου Αἰμιλίου διαδεξαμένου τὴν ἀρχήν, πλῆθος Γάλλων ὑπὲρ ἀριθμὸν ἐπὶ τὴν Ἰταλίαν ὥρμησε, καὶ τὰς Ἄλπεις ἤδη ὅρος δέ ἐστι τοῦτο Γάλλους Ἰταλῶν διορίζον ὑπερβεβήκεσαν. Ἔνθα δὴ πάσης ὁμοῦ τῆς Ἰταλίας ἐγένετο σύμπνοια, καὶ συνεκροτήθη συμμαχικὸν εἰς ὀκτὼ μυριάδας, ὡς ὁ τῆς ἱστορίας συγγραφεὺς ἐξηγήσατο Φάβιος, αὐτὸς καὶ τοῦ πολέμου κεκοινωνηκώς. Ἀλλ' οὐ δεηθεὶς τῶν συλλεγέντων ἐπικούρων Αἰμίλιος μετὰ τῆς αὐτοῦ στρατιᾶς κατειργάσατο τοὺς πολεμίους, ὥστε τεσσαράκοντα χιλιάδας πεσεῖν καὶ τὴν νίκην διὰ τοῦτό τοι ψήφῳ τῆς πόλεως ἐθριάμβευσεν.

6. Ἐπὶ πλεῖστον δὲ ἡσυχάσαντες οἱ Γάλλοι πολλοῖς ὕστερον χρόνοις πάλιν ἤραντο πόλεμον ἐντὸς τῆς Ἰταλίας πρὸς τοὺς Ῥωμαίους. Ὕπατοι δὲ ἦσαν Μάρκος Κλαύδιος Μάρκελλος καὶ Γνέος Κορνήλιος Σκιπίων. Ἀλλ' οὐκ εἰς μακρὸν κατελύθησαν. Μάρκελλος γάρ, ἵππον οὐ πολλὴν ἄγων, νικᾷ τε αὐτοὺς μάχῃ καὶ τὸν βασιλέα Βουριδόμαρον αὐτοχειρὶ διεχρήσατο. Ἐφεξῆς δέ, μετὰ τοῦ συνυπάτου τὸν πάντα κατορθώσας πόλεμον καὶ τὴν Μεδιόλανον ἑλὼν πολύν τε συναγείρας χρημάτων ὄγκον, ἐθριάμβευσεν, ἐπὶ τῶν ὤμων τὰ λάφυρα φέρων τοῦ πεσόντος βασιλέως.

7. Μάρκου δὲ Μινουκίου Ῥούφου καὶ Πουβλίου Κορνηλίου τὴν ἀρχὴν ἐκδεξαμένων, πρὸς Ἴστρους ἐγένετο πόλεμος, ἐπειδὴ τὸν ῥωμαϊκὸν ἐλῄστευον στόλον, καὶ πάντες ὑπὸ Ῥωμαίοις ἐγένοντο. Ὑπὸ δὲ τὸν αὐτὸν τοῦτον χρόνον δεύτερος ἐπῆλθε Ῥωμαίοις ἐξ Ἀφρικῆς

1. *Σαβίνου* Π. Διορθωτέον *Ἀλβίνου* 2. *Γνέου* Π. Διορθωτέον *Γναίου* *Ἰλλυριοὺς* Π : *Ἰλλιριοὺς* Δ 5. *Αἰμιλίου* ΣΔ : *αἰμιλίου* ΑΜΙ 6. *Γάλλων* Π : *γάλλων κάτω μέλαν, γαλατῶν ἄνωθεν ἐρυθρὸν* Μ 7. Ἐν τῇ ῷᾳ· *ὅτι τὰ ὄρη τῶν ἄλπεων διορίζουσιν ἰταλίαν ἐκ γαλατῶν* ΑΜΣ 8. *σύμπνοια* Π : *σύμπνια* Μ 10. *αὐτὸς καὶ* ΜΙ : *καὶ αὐτὸς* ΑΣΔ 11. *Αἰμίλιος* ΣΔ : *αἰμίλιος* ΑΜΙ *αὐτοῦ* ΣΔ : *αὐτοῦ* ΑΜΙ 13. *καὶ τὴν νίκην διὰ τοῦτο (διὰ τοῦτό* Μ : *διατοῦτό* Α*)* Π : *καὶ διὰ τοῦτο τὴν νίκην* Ι *τοι ψήφω* ΑΜ : *τῇ ψήφῳ* ΙΣΔ 15. *ἤραντο* ΑΜΙ :*ἤραντο* ΣΔ 16. *Γνέος* Π. Διορθωτέον *Γναῖος* 17. *Σκιπίων* ΙΣΔ : *σκηπίων* Α : *σκηπίων ἐκ τοῦ σκηπίον* Μ Ἐν τῇ ῷᾳ· *οὗτος πατὴρ ἦν τοῦ τὴν ἀφρικὴν δουλώσαντος ὕστερον σκηπίωνος* ΑΜΣ *μακρὸν* ἔγραψα *μακρὰν* Π 18-19. *Βουριδόμαρον* Π. Διορθωτέον *Βιριδόμαρον* 20. *ἑλὼν* Π : *ἕλων* Α

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ... ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ... ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Γ.Α.Π.Σ.Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

πόλεμος, Ἀννίβου Καρχηδονίοις στρατηγοῦντος. Ὃς ἔτη γεγονὼς εἴκοσι τὴν Σαγοῦντον, Ἱσπανίας πόλιν, Ῥωμαίοις ὑπόσπονδον οὖσαν, ἐνεστήσατο πολιορκεῖν, καὶ συλλέξας στρατιὰν εἰς τεσσαρεσκαίδεκα μυριάδας ἀνδρῶν, εἴχετο τοῦ ἔργου. Τοῦτο γνόντες οἱ Ῥωμαῖοι πρεσβείαν ἐπ' αὐτὸν στέλλουσι, προαγορεύοντες αὐτῷ τῆς πολιορκίας ἀπέχεσθαι. Μὴ πεισθέντος δέ, πρεσβεύονται πρὸς Καρχηδονίους, ὥςτε ἀποστῆσαι τὸν Ἀννίβαν τῆς κατὰ τῶν οἰκείων ἐφόδου. Οἱ δὲ τὸ καθῆκον ὑπερβάντες θρασύτερον ἀπεκρίναντο. Παρασυρομένου δὲ τοῦ χρόνου, μετὰ πολλὴν τὴν προσεδρείαν λιμῷ νικηθέντες οἱ Σαγοῦντοι σφᾶς αὐτοὺς ἐξέδωκαν καὶ μεγίστης ἐπειράθησαν ὠμότητος.

8. Ἐνεκρίθη τοίνυν παρὰ Ῥωμαίοις πρὸς Ἄφρους πόλεμος, ὅτε σαφῶς ἀπεδείχθησαν παραβεβηκότες τὰς σπονδάς. Καὶ Πούβλιος μὲν Κορνήλιος Σκιπίων μετὰ τοῦ στρατεύματος ἔδραμεν ἐπὶ τὰς Ἱσπανίας, Τιβέριος δὲ Σεμπρώνιος Γράκχος ἐπὶ τὴν Σικελίαν. Ὁ τοίνυν Ἀννίβας, καταλιπὼν ἐν Ἱσπανίαις τὸν ἀδελφὸν Ἀσδρούβαν, ὑπερῆλθε τὸν Πυρρηναῖον καὶ τὰς καλουμένας Ἄλπεις, αὐτῷ πρώτῳ γενομένας τότε βασίμους. Εἵπετο δὲ αὐτῷ στρατιὰ τὴν Ἰταλίαν ἰόντι πεζῶν ὀκτὼ μυριάδες καὶ ἱππέων δέκα ἐλέφαντές τε ἑπτὰ καὶ τριάκοντα. Προϊὼν δὲ προσελάμβανεν ὅσοις ἂν τύχοι. Λίγουρες γοῦν καὶ Γάλλοι προσέθεντο. Ταῦτα γνοὺς Σεμπρώνιος Γράκχος ἀπὸ τῆς Σικελίας μετέστησε τὴν στρατιὰν εἰς Ἀρίμινον.

9. Καὶ πρότερον μὲν ἀπήντησε τοῖς Ἄφροις ὁ Σκιπίων καὶ συμμίξας ἥττόν τε ἔσχε, τραπέντος αὐτῷ τοῦ στρατοῦ, καὶ τιτρώσκεται καὶ εἰς τὴν παρεμβολὴν καταφεύγει. Γράκχος δὲ συνεπλάκη μὲν καὶ

1. *πόλεμος* Π : *πόλεμος* ἐκ τοῦ *πόλεμον* Δ  2. *Σαγοῦντον* ΙΣΔ : *σάγουντον* ΑΜ  *Ἱσπανίας* ΣΔ : *Ἱσπανίας* ⁄. ἐν δὲ τῇ ᾤᾳ ἐρυθροῖς γράμμασι *Γρ. ζακανθίαν* Μ : *ἱσπάνη* διωρθωμένον εἰς *Ἱσπανίας* ἐν δὲ τῇ ᾤᾳ ἐρυθροῖς γράμμασι *Γρ. ζακανθίαν* Α : *ἱσπάνην* Ι  3. *στρατιὰν* διώρθωσε Δ : *στρατείαν* Π  *τεσσαρεσκαίδεκα* ΑΜΣ : *τεσσαρασκαίδεκα* ΙΔ  9. *Σαγοῦντοι* Π : *Σαγούντιοι* Δ  10. *αὐτοὺς* Π : *αὑτοὺς* Ι  12. *Πούβλιος* Π : *πούβλιος* ἐκ τοῦ *πούβριος* Δ  13. *Σκιπίων* ἔγραψα ἐνταῦθα καὶ πανταχοῦ κατωτέρω : *Σκηπίων* Π : λείπει Δ

13-14. *Ἱσπανίας* ΙΣΔ : *ἱσπανίας* ΑΜ  15. *Ἱσπανίαις* ΙΣΔ : *ἱσπανίαις* ΑΜ  *Ἀσδρούβαν* Π : *ἀσδρούβαν* τῇ δευτέρᾳ χειρὶ ἐκ τοῦ *ἀνδρούβαν* Α  16. *Πυρρηναῖον* Μ : *πυρρηναῖον* ἐκ τοῦ *πυρρηνέον* Μ  *Ἄλπεις* Π : *Ἄλπεις* (*Ποινὰς*) Δ

18. *ἐλέφαντές τε* ΣΔ : *ἐλέφαντες τὲ* ΑΜΙ  20. *Γράκχος* ΙΔ : *βράγχος* ΑΜΣ

21. *Ἀρίμινον* ΙΣΔ : *ἀρίμηνον* ΑΜ  22. *ὁ Σκηπίων* ΙΑΜ ἐν δὲ τῇ ᾤᾳ ἐρυθρᾷ ⁄. *ὁ πατὴρ τοῦ σκηπίωνος* (*σκηπίωνος* Μ) ΑΜ : *ὁ πατὴρ τοῦ σκηπίωνος* ἐν τῷ κειμένῳ ΣΔ  23. *ἥττόν τε* ἔγραψα : *ἧττον τὲ* (*τε* Δ) Π  24. *Γράκχος* ΙΔ : *βράκχος* τῇ δευτέρᾳ χειρὶ ἐκ τοῦ *γράκχος* Α : *βράκχος* ἐκ τοῦ *βράγχος* Σ

ΙΩΑΝΝΙΝΑ 2006

αὐτὸς περὶ τὸν Τέβριον, μετὰ δὲ τῆς ἴσης ἀνεχώρησε τῷ Σκιπίωνι τύχης. Ἐκ τούτου πολλοὶ τῶν Ἰταλῶν παρέδοσαν ἑαυτοὺς τοῖς πολεμίοις. Λαμπρός τε ὢν ἐκ τούτων Ἀννίβας τῶν προοιμίων συνέμιξε τῷ Φλαμινίῳ τὴν ὑπατικὴν στρατιὰν ἄγοντι, καὶ αὐτόν τε καὶ τὸ σὺν αὐτῷ στράτευμα διεχρήσατο, ἐγγὺς πέντε καὶ εἴκοσι χιλιάδας, τῶν λοιπῶν φυγῇ σωθέντων. Πέμπεται λοιπὸν πρὸς αὐτὸν ὁ Φάβιος, δικτάτωρ ἀναδειχθείς· ὃς ἀεὶ μὲν ἀναβαλλόμενος τὴν μάχην, ἀεὶ δὲ αὐτὴν προςδοκᾶσθαι ποιῶν, ἀνέκοπτε τῆς πολλῆς ὁρμῆς τὸν στρατηγὸν τῶν Ἄφρων, καί ποτε ἀπροςδόκητος εἰς χεῖρας ἐλθὼν ἐκ τοῦ κρείττονος ἀνεχώρησε.

10. Πεντακοσιοστοῦ δὲ καὶ τεσσαρακοστοῦ τῆς πόλεως ἔτους Αἰμίλιος Παῦλος καὶ Πούβλιος Τερέντιος Βάρρων, ὕπατοι χειροτονηθέντες, ἐδέξαντο παρὰ τοῦ Φαβίου τὴν ἐξουσίαν. Ὃς χωριζόμενος τῶν πραγμάτων συνεβούλευε τοῖς ὑπάτοις τοῖς αὐτοῦ κατακολουθεῖν περὶ τὴν μάχην ἴχνεσι καὶ τὴν συμπλοκὴν ἀναβάλλεσθαι, κωλύοντες μὲν ἐπιφερομένους, συμμῖξαι δὲ παραιτουμένους· τοῦτον γὰρ εἶναι μόνον τῆς νίκης τῆς κατ᾽ ἐκείνου τὸν τρόπον. Ἀτιμάσας δὲ ταύτην Βάρρων τὴν παραίνεσιν εἱλκύσθη πρὸς συμπλοκήν, τοῦ Παύλου κωλύοντος καὶ τῶν τοῦ Φαβίου λόγων ἀναμιμνήσκοντος. Συνέμιξαν τοίνυν ἐν Κάνναις, χωρίῳ τῆς Ἀπουλίας, καὶ νικᾶται τῶν ὑπάτων ἑκατέρων τὸ στράτευμα. Πίπτει μὲν γὰρ ἕτερος τῶν ὑπάτων, ὁ Παῦλος, ὑπατικοὶ δὲ ἄνδρες καὶ πραιτώριοι ἀμφὶ τοὺς εἴκοσι, συγκλητικοὶ δὲ σὺν τοῖς ἀπαχθεῖσιν αἰχμαλώτοις τριάκοντα, ἐπιφανεῖς δὲ ἄλλως τριακόσιοι, τοῦ δὲ λοιποῦ τῶν μαχομένων πλήθους πεζοὶ μὲν τεσσαράκοντα χιλιάδες, ἱππέων δὲ τρεῖς καὶ πεντακόσιοι. Τῆς δὲ ἀντιπάλου στρατιᾶς ἔπεσον μὲν καὶ αὐτῆς οὐκ ὀλίγοι, σχεδὸν δὲ ἅπαντες ἐγένοντο τραυματίαι. Οὗ δὴ καὶ θαυμάσαι τοὺς Ῥωμαίους ἐστὶ τοῦ φρονήματος.

1. *περὶ* ΑΜΙ : *ἐπὶ* ΣΔ  *Σκιπίωνι* ΙΔ : *Σκιπίωνι* ΑΜΣ  3. *λαμπρός τε* ΑΜΔ : *λαμπρὸς τε* ΙΣ  4. *αὐτόν τε* Δ : *αὐτὸν τὲ* Π  5. *εἴκοσι* ΣΔ : κ´ Α : κ̄ Μ : *ὀκτὼ* Ι  *χιλιάδας* Π : *χιλιάδας* τῇ δευτέρᾳ χειρὶ ἐκ τοῦ *χιλιάδες* Α  6. Ἐν τῇ ᾤᾳ· *οὗτος ὁ φάβιος ἐστὶν ὃν παράλληλον τίθησι πλούταρχος περικλεῖ τῷ ἀθηναίῳ* ΑΜ  9. *Ἄφρων* Π : *ἄφρων* Μ  *καί ποτε* ΜΙ : *καὶ ποτὲ* ΑΣΔ  *χεῖρας* Π : *χεῖρας* Μ  11-12. *Αἰμίλιος* ΣΔ : *αἰμίλιος* ΑΜΙ  12. *Βάρρων* Δ : *βάρων* Π  15. *ἀναβάλλεσθαι* Π : *ἀναβάλεσθαι* Μ  16. *συμμῖξαι* ἔγραψα : *συμμίξαι* Π  18. *παραίνεσιν* Π : *παρένεσιν* Μ  19. *λόγων* Π : *λόγων* Α  20. *Κάνναις* Π : *κάνναις* τῇ δευτέρᾳ χειρὶ ἐκ τοῦ *κένναις* Α  *χωρίῳ* Π : *χωρίῳ* τῇ δευτέρᾳ χειρὶ ἐκ τοῦ *χωρίον* Α  24. τοῦ δὲ Π : τοῦ δὲ ἐρυθρᾷ ἀντὶ τοῦ τὸ πρῶτον γραφέντος μέλανι τοῦ Α  26. *αὐτῆς* ΜΙΔ : *αὐτοῖς* ΑΣ

Τοσαύτῃ γὰρ ἐμπεσόντες συμφορᾷ, οἵαν οὔτε ὁ παρελθὼν ἤνεγκε χρόνος οὔτε ὁ μέλλων οἴσειν ἠλπίζετο, μνήμην εἰρήνης οὐκ ἐποιήσαντο. Τὸ μέντοι μέγεθος ἐδείχθη τοῦ κακοῦ τῷ καινῷ τῆς στρατολογίας· τότε γὰρ δὴ πρῶτον ἐλευθερίας ἀξιωθέντες οἰκέται εἰς στρατείαν ἐξεδόθησαν.

11. Συνέβη δέ, ὅπερ ἐν τοῖς τοιούτοις φιλεῖ, τοὺς ὑπηκόους συμμεταστῆναι τῇ τύχῃ καὶ τὰς ὑπὸ Ῥωμαίοις οὔσας ἰταλικὰς πόλεις τὸν Ἀννίβαν ὑποδέξασθαι. Ἀννίβας δέ, γαυριῶν τοῖς κατωρθωμένοις, ἐξουσίαν ἔδωκε τοῖς Ῥωμαίοις ἐξωνήσασθαι τοὺς αἰχμαλώτους. Οἱ δὲ ἔφασαν οὐχ ἡγεῖσθαι πολίτας, οἳ μεθ' ὅπλων ὄντες ὑπὸ τοῖς πολεμίοις ἐγένοντο. Τότε τοίνυν ποικίλως αὐτοὺς πρότερον αἰκισάμενος ἅπαντας διεχρήσατο, τρεῖς τε μεδίμνους δακτυλιδίων εἰς ἀπόδειξιν τῶν ἀνῃρημένων τοῖς Καρχηδονίοις ἐξέπεμψεν, οὓς τῶν νεκρῶν ἐξεῖλε σωμάτων. Ἐν τούτοις δ' ὄντος Ἀννίβου, Σκιπίωνες ἄμφω τὸν Ἀσδρούβαν ἐν ταῖς Ἱσπανίαις διατρίβοντα· ἦν δὲ οὗτος ἀδελφὸς Ἀννίβου, καταλελειμμένος μετὰ πολλῆς στρατιᾶς, ὥςτε τὰς Ἱσπανίας προςνεῖμαι τοῖς Ἄφροις· καλοῦσιν εἰς μάχην. Καὶ νικῶσι νίκην λαμπράν· αἰχμαλώτους γὰρ εἷλον μυρίους ἄνδρας, ἀνεῖλον δὲ εἴκοσι καὶ πέντε χιλιάδας. Τοῦτο γνόντες οἱ Καρχηδόνιοι πέμπουσιν ἑτέραν αὐτῷ στρατιάν, δώδεκα μὲν πεζῶν χιλιάδας, τέσσαρας δὲ ἱππέων, ἐλέφαντας δὲ εἴκοσι.

12. Τετάρτῳ δὲ ἔτει τῆς διατριβῆς Ἀννίβου τῆς ἐν Ἰταλίᾳ Μάρκελλος ὕπατος χειροτονηθεὶς περὶ τὴν Νῶλαν· πόλις δέ ἐστιν αὕτη τῆς Καμπανίας· συνεκρότησε πρὸς τὸν Ἀννίβαν πόλεμον, καὶ νικᾷ τῇ μάχῃ. Ἡττηθεὶς δὲ ὅμως ἐκεῖνος περὶ τὰς πόλεις ἐστρέφετο, τὰς μὲν πολιορκίᾳ, τὰς δὲ φόβῳ τῆς ῥωμαϊκῆς ἀφιστὰς δυναστείας. Τῆς γοῦν Ἀπουλίας καὶ Καλαβρίας καὶ Βρούττων τὰς πλείστας ὑφ' ἑαυτῷ κατεστήσατο· τοσαύτη τε ἦν τῶν κατ' αὐτὸν ἡ λαμπρότης, ὥςτε καὶ Φίλιππον τῶν Μακεδόνων βασιλέα, πρεσβείαν ὡς αὐτὸν στείλαντα,

2. *μέλλων* ΑΙΣ : *μέλλον* (ω supra) Μ : *μέλλον* Δ    3. *καινῷ* ΑΜΣ : *καιρῷ* ΙΔ
7. *οὔσας* ΙΣΔ : *οὖσας* ΑΜ    8. *δὲ* Π : *δὲ'* Α    10. *οὐχ* Π : *οὐχ'* Α    *τοῖς* Π : *τοῖς ἐκ τοῦ τῆς* Μ    11. *αὐτοὺς* Π : *αὐτοὺς ἐκ τοῦ αὐτοῦ* Α    *αἰκισάμενος* ΣΔ : *αἰκισάμενοι* ΑΜΙ    12. *διεχρήσατο* ΣΔ : *διεχρήσαντο* ΑΜΙ    14. *δ'* Π : *δ'* πρόςθετον ἐρυθρὸν Α    *Σκιπίωνες* ΙΔ : *Σκηπίωνες* ΑΜΣ    *Ἀσδρούβαν* Π : *ἀσδρούβαν* τῇ δευτέρᾳ χειρὶ ἐκ τοῦ *ἀνδρούβαν* Α    15. *Ἱσπανίαις* ΙΣΔ : *ἰσπανίαις* ΑΜ
16. *Ἱσπανίας* ΙΣΔ : *ἰσπανίας* ΑΜ    23. *Νῶλαν* ἔγραψα : *νώλαν* ΣΔ : *νόλαν* ΑΜΙ    27. *ὑφ'* ἔγραψα : *ἐφ'* Π

ὑποσχέσθαι κατὰ Ῥωμαίων. Ὅρον δὲ εἶχεν ἡ ὑπόσχεσις τόνδε· καθαιρεθέντων εἰς ἅπαν Ῥωμαίων, σύμμαχον καὶ αὐτὸν αὐτοῖς γενέσθαι πρὸς τὸν κατὰ τῶν Ἑλλήνων πόλεμον. Ἀλλὰ συνέβη τοὺς ἐκ Μακεδονίας πρέσβεις τῷ ῥωμαϊκῷ περιπεσεῖν στρατῷ, καὶ οὕτως ἐγένετο δήλη τοῖς Ῥωμαίοις ἡ μακεδονικὴ πρεσβεία. Πέμπουσι τοίνυν Λεβῖνον μὲν ἐπὶ Μακεδόνας, Τορκουάτον δὲ ἐπὶ Σαρδόνα. Ἤδη γάρ τοι καὶ αὐτὴ Ῥωμαίων ἀποστᾶσα προσκεχωρήκει τοῖς Ἄφροις.

13. Τέσσαρας τοίνυν ἐνὶ χρόνῳ πολέμους ἐν διαφόροις τόποις εἶχον οἱ Ῥωμαῖοι· ἐν Ἰταλίᾳ πρὸς Ἀννίβαν, [ἐν Ἱσπανίαις πρὸς τὸν ἀδελφὸν αὐτοῦ Ἀσδρούβαν], ἐν Μακεδονίᾳ πρὸς Φίλιππον, ἐν Σάρδοις πρὸς τοὺς ἐκ τῆς χώρας ἐκείνης καὶ πρὸς Ἀσδρούβαν, ἕτερον Ἄφρον στρατηγόν. Τοῦτον Μάλλιος Τορκουάτος ἐζώγρησε μάχῃ, πρότερον ἀποβαλόντα τῆς στρατιᾶς τῶν μὲν πεσόντων δέκα χιλιάδας, τῶν δὲ ἀπαχθέντων αἰχμαλώτων εἰς πεντακοσίους τε καὶ χιλίους. Καὶ οὕτω Σάρδονες μὲν Ῥωμαίοις ἀπεδόθησαν· ὁ δὲ τοῦ πολέμου στρατηγὸς Μάλλιος ζῶντα τὸν Ἀσδρούβαν εἰσήγαγε τοῖς Ῥωμαίοις. Οὕτω τοίνυν κεχωρηκότων, νικᾷ καὶ Λεβῖνος τὸν Φίλιππον, καὶ οἱ Σκιπίωνες ἐν Ἱσπανοῖς τόν τε Ἀσδρούβαν καὶ Μάγωνα, καὶ αὐτὸν ἀδελφὸν Ἀννίβου.

14. Δεκάτῳ δὲ ἔτει τῆς ἐπὶ τὴν Ἰταλίαν εἰσόδου τῶν Ἄφρων Σουλπίκιος μὲν καὶ Φούλβιος ἦσαν ὕπατοι, Ἀννίβας δὲ ἐπὶ τὴν πόλιν ἰὼν ἐν τετάρτῳ τῆς πόλεως ἐστρατοπεδεύσατο σημείῳ, τινὰς τῶν ἱππέων μέχρις αὐτῶν προεκπέμψας τῶν πυλῶν. Τῶν δὲ ὑπάτων μετὰ τῆς στρατιᾶς, ἐπειδὴ τὸν τῆς πόλεως ἤκουσαν κίνδυνον, ἐπιστάντων, φοβηθεὶς ἐπὶ τὴν Καμπανίαν ἐχώρησεν. Ἐντεῦθεν τὰ ἐν Ἱσπανίαις μεταπίπτει πράγματα, καὶ Σκιπίωνες ἄμφω πίπτουσι μαχόμενοι πρὸς Ἀσδρούβαν οἱ πολλάκις αὐτοῦ κεκρατηκότες· τῷ στρατεύματι δὲ οὐδεμία συνέβη βλάβη, ἐπεὶ καὶ οἱ στρατηγοὶ τύχῃ μᾶλλον ἡττήθησαν

1. *ὑποσχέσθαι* Π : *συμμαχεῖν ὑποσχέσθαι* Δ κατὰ τὰ προταθέντα ὑπὸ Σ  6. *Τορκουάτον* Π : *Τορκούατον* Δ  *Σαρδόνα* ΙΣΔ : *Σαρδόνας* ΑΜ  *τοι* Σ : τι Π  8. Ἐν τῇ ῥᾳ μάγα *Cν* ΑΜ : λείπει ΙΣΔ  *ἐνὶ* Π : *ἐνὶ* Δ  9. *ἐν Ἱσπανίαις—Ἀσδρούβαν* προσέθηκα Δ : λείπουσι Π  11. *Ἄφρον* ΑΜΙ : *Ἄφρων* ΙΔ  12. *Τορκουάτος* ΜΙΣ : *Τορκούατος* ΑΔ  13. *ἀποβαλόντα* ΙΣΔ : *ἀποβαλλόντα* ΑΜ  16. *Μάλλιος* ΙΣΔ : *μάλιος* ΑΜ  17. *σκηπίωνες* ΑΜ : *σκηπίωνες* ΙΣΔ  18. *Ἱσπανοῖς* ΙΣΔ : *ἰσπανοῖς* ΑΜ  20. *Ἄφρων* Π : *Ἀφρῶν* Σ

25. *Ἱσπανίαις* ΣΔ : *ἰσπανίαις* Μ : *ἰσπανίαις* τοῦ ἴ προστεθέντος ἐρυθροῦ Α : *σπανίαις* Ι  26. *Σκιπίωνες* Π : *Σκηπίωνες* Δ  27-28. *οὐδεμία* Π : *οὐδὲ μία* Σ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΗΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Εκδ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ἢ τῇ περὶ τὸν πόλεμον ῥαθυμίᾳ. Ὑπὸ δὲ τούτους αὐτοὺς τοὺς χρόνους Μάρκελλος τὸ πλεῖστον ἀνεκτήσατο τῆς Σικελίας ὑπὸ τοῖς Ἄφροις ἤδη γεγενημένον, καὶ τὰς Συρακούσας εἷλε πολιορκίᾳ, πολύν τε πλοῦτον ἐκεῖθεν προσεκτήσατο τοῖς Ῥωμαίοις. Τότε καὶ Λεβῖνος, πρὸς τὸν Φίλιππον καὶ πολλὰς τῶν ἑλληνικῶν πόλεων καὶ πρὸς Ἄτταλόν τινα Ἀσίας βασιλέα σπεισάμενος, ἐπὶ τὴν Σικελίαν ὡρμήθη. Ἄννωνα δὲ τὸν Καρχηδονίων στρατηγὸν καὶ τὴν Ἀκραγαντίνων πόλιν ἑλών, ἣν ἐφρούρει, τὸν μὲν ἅμα τοῖς ἐπισημοτάτοις τῶν αἰχμαλώτων ἐπὶ τὴν Ῥώμην ἐξέπεμψε, τεσσαράκοντα δὲ πόλεις τῆς Σικελίας ἑκούσας ἑλών, ἓξ δὲ καὶ εἴκοσι πολιορκίᾳ, οὕτως οἴκαδε ἐπανῆλθε· καὶ τότε πάσης ἐγένοντο Ῥωμαῖοι τῆς Σικελίας δεσπόται. Λαμπρὸς οὖν ἐπὶ τούτοις ἐπανῆλθεν ὁ Λεβῖνος. Τούτων ἐν Σικελίᾳ πραττομένων, Ἀννίβας ἐν Ἰταλίᾳ τῷ τε ὑπάτῳ Φουλβίῳ καὶ τῷ στρατεύματι προςπεσὼν ἐξαπιναίως, ὀκτὼ χιλιάδας ἀναιρεῖ καὶ τὸν ὕπατον.

15. Ἐν δὲ ταῖς Ἱσπανίαις, μετὰ τὴν τῶν Σκιπιώνων τελευτὴν οὐκ ὄντος ἡγεμόνος τῷ στρατεύματι, πέμπεται Σκιπίων ἕτερος, ὁ καλούμενος Πούβλιος, παῖς Σκιπίωνος τοῦ πρότερον ἐκεῖ πεπολεμηκότος, γεγονὼς μὲν ἔτη τέσσαρα καὶ εἴκοσι, τῶν δὲ κατ' αὐτὸν καὶ τῶν ἐφεξῆς ἁπάντων ἄριστος. Οὗτος εὐθὺς ἐκ προοιμίων αἱρεῖ Καρχηδόνα τὴν ἐν Ἱσπανίαις, ὁμώνυμον τῇ μητροπόλει τῆς Ἀφρικῆς, αἵρει δὲ καὶ τὸ χρυσίον ἅπαν καὶ τὸν ἄργυρον καὶ τὴν λοιπὴν τοῦ πολέμου παρασκευὴν τῶν Ἄφρων, αὐτόθι κειμένην ὡς ἐν ὀχυρῷ χωρίῳ, καὶ τοὺς ὁμήρους δὲ σύμπαντας, οὓς ἐκ τῶν ἐπισήμων γενῶν ἐτύγχανεν Ἀννίβας εἰληφώς, τούτοις τὴν τῆς γῆς ἀσφαλιζόμενος κτῆσιν. Γίγνεται δὲ καὶ τοῦ Μάγωνος ἐγκρατής, ὃς ἦν ἀδελφός, ὡς ἔφην, Ἀννίβου. Ῥωμαῖοι μὲν οὖν τὴν λείαν ἅπασαν καὶ Μάγωνα δεξάμενοι λαμπρὰν ἦγον ἑορτήν. Ὁ δὲ Σκιπίων, προ[illegible]γόμενος τοὺς Ἱσπανούς, ἅπασιν ἀπέδωκε τοὺς ὁμήρους, καὶ του[illegible] πάντας ἐποίησε τοὺς Ἱσπανοὺς ὥςπερ

2. Ἐν τῇ ᾤᾳ· *τοῦτον τὸν μάρκελλον παράλληλον τίθησι πλούταρχος πελοπίδα τῷ θηβαίῳ* ΑΜΣ  3. *ἤδη ἐν συνεχείᾳ τοῦ κειμένου* Π : *ἤδη πρόςθετον τῇ δευτέρᾳ χειρὶ ἄνωθεν* Α  *Συρακούσας* ΙΣΔ : *συρρακούσας* ΑΜ  6. *Ἄτταλόν* ΙΣΔ : *ἄτταλλόν* ΑΜ  7. *Ἄννωνα* ΜΙΔ : *Ἄννωνα* ΛΣ  *τὸν* Π : *τὸν ἐκ τοῦ τῶν* Α

9. *ἐξέπεμψε* ΙΣΔ : *ἐξέπεμψεν* ΑΜ  15. *Ἱσπανίαις* ΣΔ : *ἰσπανίαις* ΑΜΙ  *Σκιπιώνων* ΙΔ : *Σκηπιώνων* ΑΜΣ  16. Ἐν τῇ ᾤᾳ· *οὗτος δὲ (οὗτος ἐστὶ* Μ : *οὗτός ἐστι* Σ) *σκηπίων ὁ υἱὸς τοῦ προρρηθέντος σκηπίωνος ὁ τὸν ἀννίβαν τέλεον τροπωσάμενος* ΑΜΣ  *Σκιπίων* ΙΔ : *Σκηπίων* ΑΜΣ  17. *Σκιπίωνος* ΙΔ : *Σκηπίωνος* ΑΜΣ  20. *Ἱσπανίαις* ΣΔ : *ἰσπανίαις* ΑΜΙ  *αἱρεῖ* Π : *αἵρει* Δ  27. *Σκιπίων* ΙΔ : *Σκηπίων* ΑΜΣ  *Ἱσπανοὺς* ΣΔ : *ἰσπανοὺς* ΑΜΙ  28. *Ἱσπανοὺς* ΣΔ : *ἰσπανοὺς* Ι : *ἰσπανοὺς τῇ δευτέρᾳ χειρὶ ἐκ τοῦ ἰσπάνους* Α